UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

21. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

ἂψ ἵππουϲ ϲτρέψαντα μετάφρενον ὀξέι δουρὶ
νύξ', ἀπὸ δ' ἅρματοϲ ὦϲε· κυκήθηϲαν δέ οἱ ἵπποι.
ὡϲ δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεϲπιδαὲϲ πῦρ
οὔρεοϲ ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντῃ τε κλονέων ἄνεμοϲ φλόγα εἰλυφάζει,
ὣϲ ὅ γε πάντῃ θῦνε ϲὺν ἔγχεϊ δαίμονι ἶϲοϲ,
κτεινομένουϲ ἐφέπων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
ὡϲ δ' ὅτε τιϲ ζεύξῃ βόαϲ ἄρϲεναϲ εὐρυμετώπουϲ
τριβέμεναι κρῖ λευκὸν ἐυκτιμένῃ ἐν ἀλωῇ,
ῥίμφά τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόϲϲ' ἐριμύκων,
ὣϲ ὑπ' Ἀχιλλῆοϲ μεγαθύμου μώνυχεϲ ἵπποι
ϲτεῖβον ὁμοῦ νέκυάϲ τε καὶ ἀϲπίδαϲ· αἵματι δ' ἄξων
νέρθεν ἅπαϲ πεπάλακτο καὶ ἄντυγεϲ αἳ περὶ δίφρον,
ἃϲ ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγεϲ ἔβαλλον
αἵ τ' ἀπ' ἐπιϲϲώτρων· ὁ δὲ ἵετο κῦδοϲ ἀρέϲθαι
Πηλείδηϲ, λύθρῳ δὲ παλάϲϲετο χεῖραϲ ἀάπτουϲ.

---

# ΙΛΙΑΔΟϹ Φ.

Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυῤῥεῖοϲ ποταμοῖο,
Ξάνθου δινήεντοϲ, ὃν ἀθάνατοϲ τέκετο Ζεύϲ,
ἔνθα διατμήξαϲ τοὺϲ μὲν πεδίον δὲ δίωκε

V. L. 488 τρέψαντα E. — 489 ἀπο DH. — 490 ἄγγεα C. — 491 ἐζαλέοιο G. καίται G. — 492 πάντη AEG: ceteri πάντῃ. — 493 ὡϲ AD 1. man. πάντη AEG: ceteri πάντῃ. — 494 ἐφ' έπων A. — 495 τῖϲ C. ζεύξει C. ἄρρεναϲ H Vrat. d. εὐρυμετώπουϲ A. — 496 ἐϋκτιμένῃ ACD GLS Lips. Townl. Vrat. d. Flor. Rom. εὐκτιμένῃ H. ἐϋτροχάλῳ Vrat. b. ΕΥΤΡΟΧΑΛΩΙ Syr. ἐϋκτιμένῃ ἢ ἐϋτροχάλῳ Eust. 1218, 18 et 25. γρ. ἐϋτροχάλωι ἐν ἀλωιῆι A. ἀλωῇ libri. ἀλωῇ Vrat. b. d. — 497 ῥίμφά τε ACD. — 498 ὡϲ AD 1. man. ἀχῖλῆοϲ C Flor. ἀχιλλέωϲ E. — 499 ϹΤΙΒΟΝ Syr. — 500 αἳ A. περι AD. — 501 ἆρ DGL. ὁπλέων L. ὁπλέων omitt. H. — 502 ΟΠΙϹϹΩΤΡΩΝ Syr. ὃ δὲ C. ἵετο CD. — 503 δ' ἐπαλάϲϲετο G.

A. c. 502 ἀπ' ἐπιϲϲώτρων Aristarchus, conf. ad Λ 537.

---

V. L. 1 ἵξον D Ven. B. Et. Mg. 683, 6. ἷξον A. ἐϋρρῆοϲ L Lips. — 3 πεδίονδε δίωκε E 1219, 63 G Harl. Vrat. b. Lips. δίωκεν E 1219, 59 L Schol. Π 394. πεδίονδ' ἐδίωκε ACDS Ven. B. ἐδίωκεν H. ΠΕΔΙΟΝΔΕΔΙΩΚΕ Syr. πεδίονδε ἐδίωκε Eust. 1219, 35.

A. c. 1 πόρον: ῥόον Aristophanes. — 2 ἀθάνατοϲ: ἀθάνατον Zenodotus, conf. B 741. Π 174.

πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ' Ἥρη
πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δὲ
ἐς ποταμὸν εἰλεῦντο βαθύρροον ἀργυροδίνην,
ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' αἰπὰ ῥέεθρα,
ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἳ δ' ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα ἑλισσόμενοι περὶ δίνας.
ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμὸν δέ· τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ·
ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ
κεκλιμένον μυρίκῃσιν, ὃ δ' ἔσθορε δαίμονι ἶσος,
φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα,
τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.

---

V. ι. 4 ἀχαιοὶ ADG Syr. οἱ ἄλλοι CHLS Ven. B. Lips. Townl. Vrat. b. d. A. Mosc. 2. ἀχαιοὶ ἢ κατά τινας οἱ ἄλλοι Eust. 1219, 37. γρ. ἥιπερ οἱ ἄλλοι A. — 5 ἥματι DH. ὅτ' ἐμαίνετο ACE Ven. B. Flor. Rom. Schol. β 1. ΟΤΕΜΑΙΝΕΤΟ Syr. — 6 πεφυγότες Tzetzes Alleg. 13. — 7 πρόσθεν H. πρός τε L. — 8 είλεῦντο EL Vrat. b. — 9 ἒν δ' A. — 10 ἄμφι περὶ A. ἀμφιπερι DL. ἀμφὶ περι CH. οἳ δ' D. οἵδ' CGHL. — 11 ἔνεον H. ἐλισσόμενοι ACGHL. περὶ ACG Ven. B. κατὰ DELS Lips. κατα H Syr. γρ. κατὰ δίνας A. — 12 ὑπὸ ADH Syr. Lips. Vrat. b. d. Mosc. 2. ὑπαὶ CGLS. ὑπὸ ἢ ὑπαὶ Eust. ἠερέθοντο L Lips. — 13
με
ποταμὸν δὲ AD. ΠΟΤΑΜΟΝΔΈ Syr. — 14 ὅρμενον CD. ὅρμονον H. — 15 ὡς A. ἀχϊλῆος C. βαθυδινήεντος A. ὑπὸ δινήεντος D. — 16 κελά-
ω
δον H. ἵππων τὲ ACH. — 17 ὃ ACDGHL Et. Mg. 645, 20. ΕΝΌΧΘΗ Syr. ἐπ' ὄχθαις G Flor. ἐπ' ὄχθῃ ACDEHLS Cant. Mor. Barocc. Harl. Lips. Vrat. A. Mosc. 2. Et. Mg. 645, 20. — 18 κεκλϋμένον H. ὃ δ' D. ὅδ' CGHL. ἔσθορε ACHLS Syr. Cant. Mor. Barocc. Harl. Lips. Townl. Vrat. A. ἔνθορε D. γρ. καὶ ἔνθορε A. ἔσθορεν ἢ ἔνθορε Eust. 1221, 4. ἔκθορε G Flor. γρ. καὶ ἔκθορε Townl. — 20 ἐπιστροφάδην C. ὄρνυτ' E. — 21 conf. ad K 484.

---

A. c. 11 ἔννεον: ἔνιαι τῶν κατὰ πόλεις νήχοντ' Didymus. — 12 ὑπὸ, conf. H. U. 62. — 18 ὃ δ': ὅδ' Pythocles. ἔσθορε δαίμονι ἶσος: ἐν ἐνίαις δ' αἶψ' ἐσόρουσεν Schol. A. ἔνιοι δὲ γράφουσιν αὐτὸς δ' αἶψ' ἐπόρουσεν, quod Bekkerus ad vs. 33 rettulit. Heynius suspicatur scriptum fuisse αὐτὸς δ' αἶψ' ἐσόρουσεν Ἀχιλλεὺς δαίμονι ἶσος.

ὡϲ δ' ὑπὸ δελφῖνοϲ μεγακήτεοϲ ἰχθύεϲ ἄλλοι
φεύγοντεϲ πιμπλᾶϲι μυχοὺϲ λιμένοϲ εὐόρμου,
δειδιότεϲ· μάλα γάρ τε κατεϲθίει ὅν κε λάβηϲιν·
ὣϲ Τρῶεϲ ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
πτῶϲϲον ὑπὸ κρημνούϲ. ὃ δ' ἐπεὶ κάμε χεῖραϲ ἐναίρων,
ζωοὺϲ ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρουϲ
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντοϲ.
τοὺϲ ἐξῆγε θύραζε τεθηπόταϲ ἠύτε νεβρούϲ,
δῆϲε δ' ὀπίϲϲω χεῖραϲ ἐυτμήτοιϲιν ἱμᾶϲι,
τοὺϲ αὐτοὶ φορέεϲκον ἐπὶ ϲτρεπτοῖϲι χιτῶϲι,
δῶκε δ' ἑταίροιϲιν κατάγειν κοίλαϲ ἐπὶ νῆαϲ.
αὐτὰρ ὃ ἂψ ἐπόρουϲε δαϊζέμεναι μενεαίνων.
ἔνθ' υἱεῖ Πριάμοιο ϲυνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι, τόν ῥά ποτ' αὐτὸϲ
ἦγε λαβὼν ἐκ πατρὸϲ ἀλωῆϲ οὐκ ἐθέλοντα,
ἐννύχιοϲ προμολών· ὃ δ' ἐρινεὸν ὀξέι χαλκῷ
τάμνε νέουϲ ὄρπηκαϲ, ἵν' ἅρματοϲ ἄντυγεϲ εἶεν·
τῷ δ' ἄρ' ἀνώιϲτον κακὸν ἤλυθε δῖοϲ Ἀχιλλεύϲ.
καὶ τότε μέν μιν Λῆμνον ἐυκτιμένην ἐπέραϲϲε
νηυϲὶν ἄγων, ἀτὰρ υἱὸϲ Ἰήϲονοϲ ὦνον ἔδωκε·
κεῖθεν δὲ ξεῖνόϲ μιν ἐλύϲατο, πολλὰ δ' ἔδωκεν,

---

V. l. 22 ΩϹῩΠῸ Syr. ὑπο AH. μεγακήτεοϲ A. ἰχθῦεϲ C. — 23 πὶπλᾶϲι (μ superscr.) L. ἐπιπλᾶϲι Townl. εὐόρμουϲ Barocc. — 24 γάρ κε Barocc. Mor. γάρ τι Eust. 1221, 37. κατέϲθει Vrat. A. ὅν τε Townl. ηνκε λάβηϲιν G. λάβηϲι Lips. Townl. — 25 ὡϲ A. τρῶεϲ L. κατα D. δινοῖο AD HS Vrat. b. d. τινὲϲ τὸ δεινοῖο δι' ἰῶτα γράφουϲι Eust. 1221, 40. — 27 δυώδεκα L. — 28 πεινὴν (οι superscr.) H. — 29 τοὺϲ δ' E. τούϲδ' Harl. θήραζε L. — 30 εὐτμῆϲῖν H. ἱμᾶϲι CEG. ϊμᾶϲι A. ΙΜΑ͂ϹΙ Syr. ἱμᾶϲιν D. — 31 χιτῶϲι ACDEGH Syr. — 32 ἑταίροιϲι DEH Vrat. A. Flor. Rom. ἐπϊ H. — 33 ὁ CDGHL. δαϊξέμεναι Vrat. d. γρ. κατακτάμεναι A. — 34 υἷι S Cant. non male, conf. B 791. H. U. 46. δαρδανίδεω D. — 35 τὸν ῥά L. — 36 ἀλωιῆϲ AD. ἀλωιῆϲ C. ἁλωῆϲ L. ἀλῳῆϲ E. — 37 ὁ δ' D. ὅδ' CGHL. — 38 τάμνε, νέουϲ A. ὅρπηκαϲ E 1221, 61. Apoll. Soph. 150, 13. εἶεν: ἦεν GL Vrat. A. — 39 ἆρ ADEGL. ἀνώϊϲτον A. ἀχϊλεύϲ C. — 40 μιν omitt. L. εὐκτιμένην H. ἐπέραϲϲε ACD Syr. ἐπέραϲϲεν EHL Vrat. A. ἐπέρηϲε G. ἐπέραϲε Flor. Rom. — 41 ἔδωκε ACDGH Syr. — 42 ἔδωκε D. πολλά δε δῶκεν G.

---

A. c. 33 δαϊζέμεναι Aristarchus. — 38 ὅρπηκαϲ Herodianus cum Ptol. Ascalonita et paradosi: τινὲϲ ἠθέληϲαν δαϲύνειν Schol. A.

Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην·
ἔνθεν ὑπεκπροφυγὼν πατρώιον ἵκετο δῶμα.
ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
πέμψειν εἰς Ἀίδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι.
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς,
γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
πόντος ἁλὸς πολιῆς, ὃ πολέας ἀέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω,
ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει.
ὣς ὥρμαινε μένων· ὃ δέ οἱ σχεδὸν ἦλθε τεθηπώς,
γούνων ἅψασθαι μεμαώς, περὶ δ' ἤθελε θυμῷ
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἤ τοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς

V. L. 43 πέμψε DE Flor. — 44 ὑπὲκ προφυγὼν A. — 45 ἤματα D. θυμὸς G. — 46 αὖθϊς C Vrat. A. — 47 ἀχϊλῆος C Flor. ἀχϊλλέως H. θοὸς ἔμβαλεν G. ἔμελλε ACDG Syr. — 48 οὐκεθέλοντα G ut 36. — 49 ἀχϊλεὺς C. — 50 ατερ H. — 51 ἄπο D. δὲ ἱδρὼς Harl. — 52 ὑπο CD. — 53 προσὸν D. πρὸν ὃν G. — 54 ὢ πόποι ADH. — 55 τρῷες L. ΠΕΡ' Syr. — 56 αὖθϊς C. ὑπο AH. — 57 ὑπο AGH Syr. Flor. ὑπὸ CDL. — 58 ἔσχε ACDEHL Syr. — 59 * πολέας: πολεῖς ACDGHLS Syr. Plutarchus de Exilio 12. ὃς πολεῖς E 1223, 2. ὃς πολλοὺς E 1223, 20. ἐρύκοι H. — 61 ἐνι AD. — 62 ἂρ ADEGHL. καὶ κεῖθεν ACDE 1223, 6 GH. ΚΑΙΚΕΙΘΕΝ Syr. κἀκεῖθεν E 1223, 31 Lips. κᾀκεῖθεν L Vrat. d. ΕΡΥΚΕΙ Syr. — 63 φυσίζωος CDL Barocc. Lips. Townl. κατὰ omitt. DHL Lips. καὶ pro κατὰ C. — 64 ὡς A. — 65 περι CDH. πέρι Flor. Mosc. 2. — 67 ὃ μὲν H. ἀνέσχετο: ἀνέσχεθε Vrat. b. Mosc. 2. ἀνέσχετο ἢ ἀνέσχεθε E. ἀχϊλεύς C.

A. c. 57 ὕπο: ὑπὸ Herodianus. — 59 πολέας Wolfius ex em. conf. N 734. O 66. Υ 313. Φ 131. — 62 καὶ κεῖθεν: ἐκ πλήρους τὸν καί σύνδεσμον ἀρίσταρχος Didymus.

οὐτάμεναι μεμαώς, ὃ δ᾽ ὑπέδραμε καὶ λάβε γούνων
κύψας· ἐγχείη δ᾽ ἄρ᾽ ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔϲτη ἱεμένη χροὸϲ ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὃ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίϲϲετο γούνων,
τῇ δ᾽ ἑτέρῃ ἔχεν ἔγχοϲ ἀκαχμένον οὐδὲ μεθίει·
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
 γουνοῦμαί ϲ᾽ Ἀχιλεῦ· ϲὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέηϲον·
ἀντί τοί εἰμ᾽ ἱκέταο διοτρεφὲϲ αἰδοίοιο.
πὰρ γὰρ ϲοὶ πρώτῳ παϲάμην Δημήτεροϲ ἀκτὴν
ἤματι τῷ, ὅτε μ᾽ εἷλεϲ ἐυκτιμένῃ ἐν ἀλωῇ,
καί μ᾽ ἐπέραϲϲαϲ ἄνευθεν ἄγων πατρόϲ τε φίλων τε
Λῆμνον ἐϲ ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
νῦν δὲ λύμην τρὶϲ τόϲϲα πορών· ἠὼϲ δέ μοί ἐϲτιν
ἥδε δυωδεκάτη, ὅτ᾽ ἐϲ Ἴλιον εἰλήλουθα
πολλὰ παθών· νῦν αὖ με τεῇϲ ἐν χερϲὶν ἔθηκε
μοῖρ᾽ ὀλοή· μέλλω που ἀπεχθέϲθαι Διὶ πατρί,
ὅϲ με ϲοὶ αὖτιϲ ἔδωκε· μινυνθάδιον δέ με μήτηρ

---

V. ι. 68 ὃ δ᾽ D. ὃδ᾽ CGHL. λάβε: βάλε G. — 69 ἂρ ADEGHL. νῶτον H. ἐνι AD. — 69—71 habet H in marg. man. rec. scriptos. — 70 ἵεμένη A. ἰεμένη D. ἄμεναι C Syr. Townl. Vrat. b. Mosc. 2. Apoll. Soph. 26, 19. Cram. Ep. 342, 27. Cram. An. Par. IV, 17, 27 (χροῦϲ). Hesychius. ἀμεναι AD. ἄμμεναι ἢ ἄμεναι E. ἄμμεναι GHL Rom. ἅμμεναι S Vrat. A. Flor. ἥμεναι Cant. Barocc. et γρ. ἄμμεναι. ἔμμεναι Cram. An. Ox. III, 77, 18. — 71 ὃ ACDGHL. ἐλίϲϲετο CDGHLS. ἑλίϲϲετο E Rom. — 72 ἔϲχεν E. ἕλεν Harl. μεθείη H Vrat. b. d. μεθίῃ S. — 73 φωνήϲαϲ AC Syr. Ven. B. Barocc. Mor. λιϲϲόμενοϲ DEGLS Lips. καί ῥ᾽ ὀλοφυρόμενοϲ H Vrat. d. γρ. καί μιν λιϲϲόμενοϲ A. — 74 ἀχιλλεῦ E Rom. — 75 τοι εἶμ᾽ A. τοι εἴμ᾽ Et. Mg. 111, 31. τοι εἶμ᾽ CDEGHL. τοί εἰμ᾽ Apoll. Soph. 31, 12. Schol. Θ 163. — 76 παρ D. πάντα pro πὰρ H. πρῶτον Rom. Eust. 1223, 62. 1224, 34. sed 1224, 32 πρώτῳ. — 77 ἤματι D. εὐκτιμένη D. ἀλῳῇ AE bis H: vulgo ἀλωῇ. C ἀλωῆι. — 78 μ᾽ ἐπέραϲϲαϲ libri mei. μ᾽ ἐπέραϲαϲ Harl. Townl. Apoll. Soph. 71, 13. ἐν ἄλλῳ καί με περαϲαϲ A. φίλον τε D. — 79 ἑκᾶτόνβοιον L Lips. ἑκατόμβοιον D, spir. 2. man. — 80 δὲ, λύμην AC Ven. B. δὲ λύμην DEHL Syr. Cant. Harl. Vrat. A. Mosc. 2. Schol. Ω 1. δ᾽ ἐλύμην S Lips. Schol. Φ 99. Et. Mg. 333, 44. 572, 12. παρῶν D. δέ μοι ἐϲτὶν CL Schol. θ 1. Et. Mg. 440, 46. Et. Gud. 252, 59 (ἐϲτι). — 81 ἧδε AD: ceteri ἥδε. — 82 αὖτε με D. ΑΫ́ΤΕΜΕϹΗϹ Syr. ἔθηκε ACEG Syr. — 84 μέ ϲοι E 1225, 5. αὖθιϲ CE 1225, 8, sed 1225, 5 αὖτιϲ. ἔδωκε libri. ΜΗΤΗΡ᾽ Syr.

---

A. c. 73 τοῦτον προϲτιθέαϲί τινεϲ οὐ φερόμενον ἐν ταῖϲ Ἀριϲτάρχου Didymus. ἐν δέ τιϲι καὶ ῥ᾽ ὀλοφυρόμενοϲ. ἄλλοι (?) καί μιν λιϲϲόμενοϲ Schol. A. — 80 δὲ λύμην, non δ᾽ ἐλύμην traditum fuisse confirmatur errore grammaticorum, qui hanc formam pro optativo acceperunt, quos refellit Etym. Mg. 333, 44. — 84 ἔδωκε: ἀρίϲταρχοϲ ἰακῶϲ δῶκε Didymus.

γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ᾽ ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
τῆς δὲ δύω γενόμεσθα, σὺ δ᾽ ἄμφω δειροτομήσεις.
ἤ τοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέι δουρί·
νῦν δὲ δὴ ἐνθάδ᾽ ἐμοὶ κακὸν ἔσσεται· οὐ γὰρ ὀίω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ᾽ ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
μή με κτεῖν᾽, ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε.
    ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουσε·
    νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ᾽ ἀγόρευε·
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδὲ πέρασσα·

---

V. l. 85 λαοδόκη Vrat. b. ΘΥΓΑΤΗΡ᾽ Syr. — 86 ἄλταο C. ἄλταω G. ἄνασσε LS Syr. Lips. — 87 πήδασσον EG Flor. Rom. ἐπὶ: ὑπο AH Syr. ὑπὸ CDEGLS. — 88 ἔσχε H. — 89 τῆς δὲ ACG: ceteri τῆσδε. — 90 μετα H. δάμασας E Flor. — 91 ὀξέϊ χαλκῷ Harl. pro var. lect. — 92 ἐνθάδ᾽ ἐμοὶ ACH: ἐνθάδε μοι E bis GLS Lips. ἔνθα δέ μοι D. ΕΝΘΑΔΕΜΟΙ Syr. ἔσσεαι L Lips. ἐν ἄλλῳ κακὸν ἔσσεαι A. — 93 ἐπέλασσε με Vrat. A. — 94 ἐνι AD. σῇσι ACDH Syr. — 96 omitt. Vrat. b. ὅς τις Cant. ἐνηέά τε C. addit post hunc Syr. ΩΙ CΥΜΑΛΙCΤΑΧΟΛΩΑΙ ΕΝΙ ΦΡΕCΙΝ ΟΙΔΑΚΑΙ ΑΥΤΟC. — 97 ὡς A. — 98 ἄκουσε ACDEGHL Syr. — 99 μή μοι ταῦτα ἢ μή μοι ἄποινα E. πιφάσκεο G. μὴ δ᾽ ACD GL. — 100 αἴσιμον ACDEHLS Syr. Cant. Lips. Ven. B. Mosc. 2. Vrat. b. d. A. Flor. Rom. μόρσιμον G. ἦμαρ D. ΗΜΑΡ᾽ Syr. — 101 τόφρα δέ μοι H Vrat. d. ἐν ἄλλῳ τόφρα δέ μοι A. ἐνι AD. ἦεν: ΗΕ Syr. — 102 τρώων L. ἤδ᾽ H. ἠδ᾽ D, acc. 2. man. ἐπέρασσα CDGHLS. ἐπέρασα AE. ΗΔΕΠΕΡΑCCA Syr. ἐν ἄλλῳ ἠδε περασσα A.

---

A. c. 86 ἔνιαι τῶν κατὰ πόλεις ἄνασσε Didymus. — 87 ἐπὶ Strabo XIII, 605 et 619. γράφουσι δέ τινες οὐκ εὖ ὑπὸ Σατνιόεντι, ὡς ὑπὸ ὄρει Σατνιόεντι κειμένης τῆς πόλεως· οὐδὲν δ᾽ ἐστὶν ὄρος ἐνταῦθα Σατνιόεις προσαγορευόμενον. ἀλλὰ ποταμός, ἐφ᾽ ᾧ ἵδρυται ἡ πόλις Strabo XIII, 605. conf. Schol. V ἐπὶ τοῖς ποταμοῖς φαμεν κεῖσθαι τὰς πόλεις. Eust. 1225, 48 λέγει δὲ (ὁ γεωγράφος) καὶ ὅτι γράφουσί τινες Πήδασον ὑποσατνιόεντα. unde apparet, Eustathium verba Strabonis non plane intellexisse. — 88 ἐν τῇ μασσαλιωτικῇ πολλῶν τε καὶ ἄλλων Didymus. — 95 οὐχ ὁμογάστριος: Zenodotus οὐκ ἰογάστριος, conf. Aristonicum ad Ω 47.

νῦν δ' οὐκ ἔϲθ' ὅϲ τιϲ θάνατον φύγῃ, ὅν κε θεόϲ γε
Ἰλίου προπάροιθεν ἐμῇϲ ἐν χερϲὶ βάλῃϲι,
καὶ πάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλὰ φίλοϲ θάνε καὶ ϲύ· τί ἦ ὀλοφύρεαι οὕτωϲ;
κάτθανε καὶ Πάτροκλοϲ, ὅ περ ϲέο πολλὸν ἀμείνων.
οὐχ ὁράᾳϲ οἷοϲ καὶ ἐγὼ καλόϲ τε μέγαϲ τε;
πατρὸϲ δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατοϲ καὶ μοῖρα κραταιή.
ἔϲϲεται ἢ ἠὼϲ ἢ δείλη ἢ μέϲον ἦμαρ,
ὁππότε τιϲ καὶ ἐμεῖο ἄρῃ ἐκ θυμὸν ἕληται
ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀιϲτῷ.
ὣϲ φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·
ἔγχοϲ μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάϲϲαϲ
ἀμφοτέραϲ. Ἀχιλεὺϲ δὲ ἐρυϲϲάμενοϲ ξίφοϲ ὀξὺ
τύψε κατὰ κληῖδα παρ' αὐχένα, πᾶν δέ οἱ εἴϲω
δῦ ξίφοϲ ἄμφηκεϲ· ὁ δ' ἄρα πρηνὴϲ ἐπὶ γαίῃ
κεῖτο ταθείϲ, ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν δ' Ἀχιλεὺϲ ποταμὸν δὲ λαβὼν ποδὸϲ ἧκε φέρεϲθαι,

---

V. L. 103 ὅϲ τιϲ: ὅϲ γε C. ὅϲ κεν E Rom. φύγῃ ACEGHLS Lips. Cant. Mor. Harl. Vrat. b. d. Mosc. 2. φύγοι DS Syr. Vrat. A. θοόϲ γε G. — 104 ἐν: ἐνὶ Vrat. A. βάλῃϲι ACDEGHL Syr. — 105 καὶ πάντων ACDHLS Syr. Mor. Barocc. Harl. Townl. Flor. Rom. καὶ πάντων ἢ ϲυμπάντων E. ϲυμπάντων G. γρ. καὶ ϲυμπάντων A. τρῴων L. περὶ CL Syr. περι A. alii πέρι. — 106 τί ἤ A: ceteri τίη. οὕτωϲ: αὕτωϲ EG Flor. Rom. Diog. Laert. IX, 11, 6. — 107 ἀμείνω D. — 108 ΚΑΙΕΓῺ Syr.: καγὼ AD. κἀγὼ CEHLS Schol. Ε 256. Ν 769. Eust. 546, 11. 959, 29. Rhet. Gr. II, 558, 12. III, 4, 12. Et. Mg. 637, 43. κᾀγὼ G. — 109 εἶμ' CDEGH. εἰμ' A. με γείνατο ACDELS Syr. Cant. Lips. Vrat. b. A. Mosc. 2. μ' ἐγείνατο GH edd. vett. ΜΗΤΗΡ' Syr. — 110 ἐπὶ ACEG. ἐπεὶ DL. ἐπὶ ϲοὶ Harl. ἔπι H. κἀμοὶ G: ceteri καὶ ἐμοί. — 111 ἠὼϲ Apoll. Soph. 85, 23. δείλῃ CDG Ven. B. Mor. Vrat. A. Schol. Ζ 201. Η 433. Θ 66. Phot. Lex. 62. Cram. Ep. 175, 12. δείληϲ AE 1226, 29 HLS Syr. Lips. Townl. Apoll. Soph. 85, 23. Et. Mg. 261, 24. Schol. Κ 252 bis. Suidas I, 2, 866, 3. δείλῃ, κατὰ δέ τιναϲ δείληϲ E 1225, 35. ΗΜΑΡ' Syr. — 112 ὁππότέ τιϲ G. τῖϲ C. ἐμοῖο C. ἄρῃ ACDH Ven. B. Lips. Harl. Townl. Vrat. b. d. Mosc. 2. ἄρη S. ἄρηϲ G Flor. ἄρει L Syr. Eust. 1225, 36. 1226, 32. utrumque Eust. 1226, 33. — 113 ἀπο H. νευρῆιφῖν C. — 114 ὡϲ A. ΗΤΟΡ' Syr. — 115 ὁ δ' D. ὅδ' CGHL. πεπάϲαϲ E. — 116 ἀχιλλεὺϲ GH Lips. Rom. δὲ: δ' CH. ἐρυϲάμενοϲ CG Lips. — 117 κατα D. κληῖδα CDGH. παραυχένα A. — 118 ὁ δ' D. ὅδ' CGHL. ἀμφὶ γαίῃ L Lips. — 119 γαῖα L. — 120 ἀχιλλεὺϲ Lips. Rom. ποταμὸν δὲ AD. ΠΟΤΑΜΟΝΔΈ Syr.

---

A. c. 106 οὕτω διὰ τοῦ ō ἅπαϲαι οὕτωϲ Didymus. — 110 ἔπι Nicias cum Aristarcho: alii ἐπί. — 111 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ ϲ̄ δείλη Didymus. — 112 ἄρῃ conf. Ε 757. 909. Φ 431.

καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ᾽ ἀγόρευεν·
ἐνταυθοῖ νῦν κεῖσο μετ᾽ ἰχθύσιν, οἵ σ᾽ ὠτειλὴν
αἷμ᾽ ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
θρῴσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ᾽ ὑπαΐξει
ἰχθύς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ᾽, εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ᾽ ὄπιθεν κεραΐζων.
οὐδ᾽ ὑμῖν ποταμός περ ἐύρροος ἀργυροδίνης
ἀρκέσει, ᾧ δὴ δηθὰ πολέας ἱερεύετε ταύρους,
ζωοὺς δ᾽ ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.

---

V. l. 121 πτερόεντα προσηύδα Barocc. Vrat. b. A. Mosc. 2. γρ. ἔπεα πτερόεντα προσηύδα A. — 122 ἰχθῦσιν C. ὠτειλῆν AD Schol. Ο 24. Ζ 224: ὠτειλῆς CEGHL Syr. Ven. B. Lips. Schol. Φ 126. ξ 178. — 123 ἀπολικμήσονται Vrat. A. Schol. Ο 24. ΜΉΤΗΡ᾽ Syr. — 124 λεχέεσι D. κάμανδρος L Harl. γοήσεται ἣ τὸ πάρος περ γείνατο κοῦρον ἐόντα [καὶ ἔτρεφεν] ἀλλὰ σκάμανδρος C, in quo est lacuna post ἐόντα. — 125 ἁλὸς εἴσω Vrat. A. εὐρέα πόντον C. — 126 θρῴσκων AE: ceteri θρώσκων. τῖς C. τὶς L. κατα AD. μέλαινα S. φρῖχ᾽ (κ supra) A. ὑπαΐξει ACGL Mor. Cant. Ven. B Lips. Flor. φρῖχ᾽ ὑπαλύξει DHS Rom. Schol. Ζ 459. Ψ 692. ὑπαλύξει ἢ ὑπαΐξει Eust. 1227, 5 et 6. ὑπαλύξας Apoll. Soph. 165, 16. ἄλλοι δὲ ὑπαΐξει γράφουσιν Eust. 1227, 14. — 127 ἰχθῦς AC 1. man. D. ὥς κε L Lips. Eust. 1227, 17. ἔνια δὲ τῶν ἀντιγράφων τὸ ὥς κε διὰ τοῦ ō μικροῦ γράφουσιν Eust. 1227, 8. λυκάωνος G. — 128 εἰς ὅ κεν A: ceteri εἰσόκεν. — 129 ὄπισθε D. — 130 εὔροος G. ἔϋρρος H. ἐΰροος E. — 131 πολεῖς ADEGHLS Syr. Lips. πολλοὺς C. ἱερεύεται G. — 132 καθείετε G.

---

A. c. 122 ἐνταυθοῖ: ἐνταῦθοι Dionysius Thrax, Timarchus, Aristoteles (?) Schol. apud Cram. An. Par. III, 291, 27. διχῶς κεῖσο καὶ ἧσο Didymus (?) conf. Schol. B. οὕτως διὰ τοῦ ν̄ ὠτειλήν ἅπασαι Didymus. — 126 ὑπαΐξει: οὕτως ἀρίσταρχος, ἄλλοι δὲ ὑπαλύξει Didymus. — φρῖχ᾽ ὑπαλύξει Philetas et Callistratus teste Aristonico, conf. etiam Schol. Ζ 459. οὕτως αἱ Ἀριστάρχου „μέλαιναν φρῖκ᾽ ἐπαΐξει". ἡ δὲ Χία „μελαίνη φρῖχ᾽ (μελαίνῃ φρίχ᾽ ?) ὑπαΐξει." οὕτω δὲ αὐτὸς Ἀρίσταρχος ἐξηγήσατο Schol. Townl. apud Cram. An. Par. III, 292, 4. ὁ μὲν Ἀρίσταρχος φρῖκ᾽ ἐπαΐξει, οἱ δὲ ἄλλοι ὑπαΐξει Schol. B. Aristarchum ὑπαΐξει scripsisse tradiderunt Didymus et Aristonicus, idque confirmat Porphyrius, qui Aristophanem quoque ita legisse testatur (Ἀριστοφάνης βούλεται τὸν ἰχθὺν θρώσκειν κατὰ κῦμα καὶ ὑπαΐσσειν τὴν φρῖκα); itaque Schol. B. et Townl. fides nulla est habenda. de Philetae scriptura ὑπαλύξει in scholiis nulla est discrepantia. quid in Chia scriptum fuerit, non liquet. — 127 ὅς Aristarchus: ὥς Aristophanes. — 130—135 Ἀριστοφάνης ἠθέτηκεν Schol. V. μήποτε μέντοι καὶ ὁ Ἀρίσταρχος συγκατέθετο τῇ ἀθετήσει, μηδὲν ἀντειπὼν τῷ Ἀριστοφάνει Didymus. — 131 Ἀρίσταρχος πολέας· ἔνιοι δὲ πολεῖς Didymus, conf. Schol. A 559.

ἀλλὰ καὶ ὧϲ ὀλέεϲθε κακὸν μόρον, εἰϲ ὅ κε πάντεϲ
τίϲετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
οὓϲ ἐπὶ νηυϲὶ θοῇϲιν ἐπέφνετε νόϲφιν ἐμεῖο.
ὣϲ ἄρ' ἔφη, ποταμὸϲ δὲ χολώϲατο κηρόθι μᾶλλον,
ὥρμηνεν δ' ἀνὰ θυμόν, ὅπωϲ παύϲειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεϲϲι δὲ λοιγὸν ἀλάλκοι.
τόφρα δὲ Πηλέοϲ υἱὸϲ ἔχων δολιχόϲκιον ἔγχοϲ
Ἀϲτεροπαίῳ ἐπᾶλτο, κατακτάμεναι μενεαίνων,
υἱέι Πηλεγόνοϲ· τὸν δ' Ἀξιὸϲ εὐρυρέεθροϲ
γείνατο καὶ Περίβοια, Ἀκεϲϲαμενοῖο θυγατρῶν
πρεϲβυτάτη· τῇ γάρ ῥα μίγη ποταμὸϲ βαθυδίνηϲ.
τῷ ῥ' Ἀχιλεὺϲ ἐπόρουϲεν, ὃ δ' ἀντίοϲ ἐκ ποταμοῖο
ἔϲτη ἔχων δύο δοῦρε· μένοϲ δέ οἱ ἐν φρεϲὶ θῆκε
Ξάνθοϲ, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
τοὺϲ Ἀχιλεὺϲ ἐδάιζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν.
οἳ δ' ὅτε δὴ ϲχεδὸν ἦϲαν ἐπ' ἀλλήλοιϲιν ἰόντεϲ,
τὸν πρότεροϲ προϲέειπε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ·
τίϲ πόθεν εἰϲ ἀνδρῶν, ὅ μευ ἔτληϲ ἀντίοϲ ἐλθεῖν;
δυϲτήνων δέ τε παῖδεϲ ἐμῷ μένει ἀντιόωϲι.
τὸν δ' αὖ Πηλεγόνοϲ προϲεφώνεε φαίδιμοϲ υἱόϲ·
Πηλείδη μεγάθυμε, τί ἢ γενεὴν ἐρεείνειϲ;

V. L. 133 ὧϲ A Ven. B.: ceteri ὡϲ. ὀλέεϲθαι D. εἰϲ ὅ κε A. — 135 ἐπι AG. ἐπέφνετο H. — 136 ὡϲ A. ἆρ G. δ' ἐχολώϲατο L Tzetzes Alleg. 31. — 137 ὥρμηνεν CH Tzetzes All. 32. ἀνα D. πόνοιο: ΦΟΝΟΙΟ Syr. conf. 249, ita Ven. B. Harl. Vrat. b. A. Mosc. 2. — 138 ἀχῖλῆα C. τρῴεϲϲι L. θυμὸν ἀλάλκοι L Lips. λοιγὸν ἀμύνῃ E Rom. — 139 δολιχόϲκιον A. — 140 ἐπάλτο G. — 141 ἄξιοϲ CDES. εὐρῦρέεθροϲ (sic) D. — 142 ἀκεϲαμενοῖο G. ἀκεϲϲαμένοιο Lips. ἀκαϲϲαμενοῖο Vrat. A. θυγάτηρ S. — 143 γὰρ ῥὰ L. ῥα μίγη: ἐν ἄλλωι τῆι γάρ ῥ' ἐμίγη A. — 144 τῷ ῥ' C Lips. Barocc. Vrat. b. Mosc. 2. τῶ ῥ' AL Syr. τῷ δ' DEGHS. ἀχῖλλεὺϲ H Rom. ὃ δ' D. ὅδ' CGHL. — 145 δύω D. ἐμφρεϲὶ A. ἐνὶ φρεϲὶ D. θῆκε ACDEGH Syr. — 146 δαῒ κταμένων CH. — 147 ἐδάϊζε ACDEGHS Syr. Vrat. b. d. A. Mosc. 2. Flor. ἐδάϊξε L Rom. καταρρόον C. κατἄρρόον D (sic). κατὰρῥόον H. — 148 omitt. Syr. οἳ δ' L. οἵδ' CH. — 149 πρότερον προϲέφη Mosc. 2. προϲέειπεν omisso ποδάρκηϲ H. ἀχῖλεύϲ C. — 150 εἴϲ A: ceteri εἶϲ. ἀντίοϲ A. ἀντίον Mosc. 2. ἐλθὼν D. — 151 ἀντιόωϲι ACDG Plutarchus de Se ips. citra invid. laud. 16. — 152 προϲεφώνει C. — 153 τί ἢ A: ceteri τίη.

A. c. 137 πόνοιο: φόνοιο, conf. ad 249. — 141 Πηλεγόνοϲ Herodianus cum Ptol. Ascalonita. — 142 Ἀκεϲϲαμενοῖο Herodianus, conf. Eust. 1228, 20. — 146 δαῒ κταμένων, conf. ad 301. — 150 εἰϲ veteres, conf. H. T. 241.

εἴμ᾽ ἐκ Παιονίης ἐριβώλου, τηλόθ᾽ ἐούσης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
ἠὼς ἐνδεκάτη, ὅτ᾽ ἐς Ἴλιον εἰλήλουθα.
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
[Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,]
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ᾽ ἐμέ φασι
γείνασθαι· νῦν αὖτε μαχώμεθα φαίδιμ᾽ Ἀχιλλεῦ.
ὣς φάτ᾽ ἀπειλήσας, ὃ δ᾽ ἀνέσχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὃ δ᾽ ἁμαρτῇ δούρασιν ἀμφὶς
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν·
καί ῥ᾽ ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διὰ πρὸ
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
τῷ δ᾽ ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸς
δεξιτερῆς, σύτο δ᾽ αἷμα κελαινεφές· ἣ δ᾽ ὑπὲρ αὐτοῦ
γαίῃ ἐνεστήρικτο λιλαιομένη χροὸς ἆσαι.
δεύτερος αὖτ᾽ Ἀχιλεὺς μελίην ἰθυπτίωνα
Ἀστεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων.
καὶ τοῦ μέν ῥ᾽ ἀφάμαρτεν, ὃ δ᾽ ὑψηλὴν βάλεν ὄχθην,

---

V. L. 154 εἰμ᾽ A. εἶμ᾽ CEG. — 155 ἔχων AC. ἄνδρας ἄγων A in marg. δολιχεγχέας A. ἦδε AD: ceteri ἥδε. — 156 ἐνδεκάτη D. ἐς: εἰς EGL Lips. Flor. Rom. — 157 ἐμὴ γενεὴ Vrat. A. Mosc. 2. ἀξίου CDES. ἐξαξίου A. εὐρὺ ῥέοντος ACDEGHL. — 158 omitt. ADH in t. Syr. Lips. in t. Townl. Vrat. d.: habent CEGH in marg. 2. man. L Lips. in marg. ἀξίου CES. ὃς: οὗ C. ἐπὶ γαῖαν ἵησι GH, ceteri ἵησιν: ἐπικίδναται αἶαν C Ven. B. — 159 δέ με ACE Ven. B. Vrat. A. Mosc. 2. Rom. δ᾽ ἐμὲ DGHL Vrat. b. d. Flor. φασὶ ACDEGHL. ΦΑΣΙ Syr. — 160 γείνεσθαι AC Ven. B. γείνασθαι A in marg. νῦν δ᾽ Harl. ἀχϊλεῦ C. — 161 ὥς A. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 162 ὃ δ᾽ D. ὅδ᾽ CGH. ἁμαρτῇ ADE Rom. Apoll. Soph. 24, 29. ἁμαρτῆ GL Cant. Harl. Mor. Vrat b. A. Lips. Flor. ἁμαρτῆ C. ὁμαρτῆ HS. ΟΜΑΡΤΗ Syr. ἁμαρτὴ et ἀμφὶ Et. Gud. 42, 31. — 163 περιδέξιος A. — 164 διὰ πρὸ DG: ceteri διαπρὸ. — 166 ἐπιγραύδην L Lips. Vrat. b. ἐπιγραύδων Vrat. A. ἐπιγράμβδην Apoll. Soph. 72, 27. — 167 σύτο: χύτο Vrat. A. ἣ δ᾽ L. ἥδ᾽ C. — 168 ἐν ἐστήρικτο L. ἐνστήρικτο CH. — 169 ἀχιλλεὺς D Flor. — 170 ἐφέηκε D. — 171 ῥ᾽ omitt. E. ὃ δ᾽ D. ὅδ᾽ CGHL.

---

A. c. 158 φέρει καὶ τὸ ἔπος καὶ Εὔδοξος δίχα τοῦ ν̄ „Ἀξιοῦ [οὗ] κάλλιστον ὕδωρ ἐπικίδναται Αἶα“ Schol. B. idem Schol. λ 239. conf. adnot. ad B 850. — 159 δ᾽ ἐμέ: δέ με Ptol. Ascalonita. — 162 ἁμαρτῇ Herodianus cum Ptol. Ascalonita: ἁμαρτὴ Aristarchus, conf. Schol. Ε 556. Eust. 1229, 18. Zonar. Lex. 164. Cram. An. Par. III, 292, 7. ἀμφὶς: ἄμφω Massiliensis. — 163 περιδέξιος Herodianus: πέρι δέξιος Ptolemaeus Pindarion. — 169 ἰθυπτίωνα Aristarchus teste Aristonico, qui hanc scripturam tuetur allato Υ 99 τοῦ γ᾽ ἰθὺ βέλος πέτετ᾽. Zenodotus ἰθυκτίωνα. erravit Eustathius 1229, 42, qui cum Schol. B Aristarcho scripturam Zenodoti tribuit. sed conf. ad Υ 273.

μεϲϲοπαλὲϲ δ' ἄρ' ἔθηκε κατ' ὄχθηϲ μείλινον ἔγχοϲ.
Πηλείδηϲ δ' ἄορ ὀξὺ ἐρυϲϲάμενοϲ παρὰ μηροῦ
ἆλτ' ἐπί οἱ μεμαώϲ· ὃ δ' ἄρα μελίην Ἀχιλῆοϲ
οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύϲϲαι χειρὶ παχείῃ·
τρὶϲ μέν μιν πελέμιξεν ἐρύϲϲεϲθαι μενεαίνων,
τρὶϲ δὲ μεθῆκε βίηϲ· τὸ δὲ τέτρατον ἤθελε θυμῷ
ἆξαι ἐπιγνάμψαϲ δόρυ μείλινον Αἰακίδαο,
ἀλλὰ πρὶν Ἀχιλεὺϲ ϲχεδὸν ἄορι θυμὸν ἀπηύρα.
γαϲτέρα γάρ μιν τύψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶϲαι
χύντο χαμαὶ χολάδεϲ· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψεν
ἀϲθμαίνοντ'· Ἀχιλεὺϲ δ' ἄρ' ἐνὶ ϲτήθεϲϲιν ὀρούϲαϲ
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενοϲ ἔποϲ ηὔδα·
κεῖϲ' οὕτω· χαλεπόν τοι ἐριϲθενέοϲ Κρονίωνοϲ
παιϲὶν ἐριζέμεναι ποταμοῖό περ ἐκγεγαῶτι.
φῆϲθα ϲὺ μὲν ποταμοῦ γένοϲ ἔμμεναι εὐρὺ ῥέοντοϲ,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸϲ εὔχομαι εἶναι.
τίκτέ μ' ἀνὴρ πολλοῖϲιν ἀνάϲϲων Μυρμιδόνεϲϲι,

---

V. l. 172 μεϲϲοπαλὲϲ A. μεϲϲοπαλὲϲ C Syr. Ven. B. Mosc. 2. pr. man. Apoll. Soph. 111, 28. Hesychius III, 94: ceteri μεϲϲοπαγὲϲ cum Schol. Φ 10. ἂρ DEGL. — 173 ἐρυϲάμενοϲ DE. — 174 ἆλτ' C. ἆλτο L. ἐπί οἱ ACDHL: ἐπὶ οἷ G Lips. Schol. A 368. ὃ δ' AD. ὅδ' CGHL. — 175 ἐρύϲαι EGL 1. man. Lips. Flor. — 176 ἐρύϲϲεϲθαι ACL 2. man. Syr. ἐρύϲεϲθαι ES Barocc. Cant. Mor. Mosc. 2. Vrat. b. ἐρύϲϲαϲθαι DH. ἐρύϲαϲθαι GL 1. man. Lips. Flor. Rom. — 177 * βίηϲ (Lips.?): βίῃ AC EHS Syr. Ven. B. Rom. βίη DGL Cant. Harl. Flor. τέταρτον CD Lips. Flor. — 178 ἄξαι ACDEGHL Syr. ἐπιγνάψαϲ L. — 179 ἀλλά ἑ πρίν S Cant. ἀχιλλεὺϲ DE Lips. — 180 γαϲτέρι Mosc. 2. πᾶϲαι sequenti versui additum est in D. — 181 χύντο AEHL Syr. χῦντο CDG Ven. B. ΚΑΛΥΨΕ Syr. ὄϲϲ' ἐκάλυψεν L Lips. Vrat. A. — 182 ἂρ ADGHL. γὰρ Barocc. δ' ἐνὶ C omisso ἄρ'. ἐνι AD. ϲτήθεϲιν G. ὀρούϲαϲ CG Syr. Ven. B. ὀρούων DHL Lips. Vrat. A. ὀρούϲαϲ (ων supra) A. — 184 οὔτω ADEGHL Lips. Ven. B. edd. vett. Tzetzes Alleg 49. οὕτωϲ C. in Syr. est lacuna usque ad τοι. χαλεπόν τι L. — 185 ΠΕΡ' Syr. ἐκγεγαῶτι ACDEHL Syr. Ven. B: ἐκγεγαῶτα GL Lips. — 186 φῆϲθα ACDG Syr. φῇϲθα HL. φῆϲθαι E. εὐρὺ ῥέοντοϲ ACDEGHL. ΕΥΡΥΡΈΟΝΤΟϹ Syr. — 188 τίκτέ μ' ADH. ΑΝΗΡ' Syr. μυρμιδόνεϲϲι ACDG Syr.

---

A. c. 172 οὕτωϲ ἀρίϲταρχοϲ μεϲϲοπαλέϲ Didymus. — 174 ἐπί οἱ Herodianus, conf. Lehrs. Quaest. Ep. 119. — 177 βίηϲ, quod φ 126 libri praeter unum omnes exhibent, hoc loco restituit Bekkerus, nam μεθίημι ubique genetivo iungitur. — 183 ἐξενάριξε: ἐν ἐνίαιϲ διὰ τοῦ ξ ἐξενάριζε Didymus. — 185 οὕτωϲ κατὰ δοτικὴν ἐκγεγαῶτι αἱ Ἀριϲτάρχου Didymus. — 186 φῆϲθα: φῇϲθα Tyrannio.

Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.
τῷ κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων,
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῷ οὐδὲ κρείων Ἀχελώιος ἰσοφαρίζει,
οὔτε βαθυῤῥείταο μέγα σθένος Ὠκεανοῖο,
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.
ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος,
τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες.
αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστάς,
οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,

---

V. l. 189 ὃ δ' D. ὅδ' CGHL. ἄρ ADEHL. διὸς εἶναι L. ἦν E. — 190 τῶ ACL. τῷ DEGH. in Syr. est lacuna. ἁλιμυρηέντων A. ἁλϊμοιρηέντων C Ven. B. Mosc. 2. ἁλιμυρϊέντων G. ἁλὶ μυριέντων Et. Gud. 400, 10. — 191 δ' αὖτε ACDEHLS Ven. B. Lips. ΔΑΫΤΕ Syr. — 192 γάρ σοι DEHL Tzetzes Alleg. 71. γε omitt. C. μέγας πάρα G. δύναταί τοι S Cant δύναταί τις Vrat. d. — 194 οὐδὲ ACDEGHS Syr. Cant. Mor. Townl. Vrat. b. Ven. B. Cram. Ep. 306, 27. Et. Mg. 181, 14. Schol. Ξ 434. δ' οὐδὲ Vrat. A. Apoll. de Synt. 90, 13: οὔτε HL Lips. — 195 οὔτε L Lips. οὐδὲ (τ supra) A: ceteri οὐδὲ. — 196 πᾶσαί τε θάλασσαι Vrat. A. — 197 φρέατα D. νάουσι CD. νέουσι Cant. — 198 ὃς δείδοικε libri praeter D cum Apoll. de Pron. 5 A. Cram. Epim. 359, 8. Et. Mg. 635, 16. Zonar. Lex. 1473. ὡς δείδοικε D. ὅς γε δέδοικε Tzetzes Alleg. 77. — 199 ἀπ' omitt. G Flor. σμαραγήσει CES Cant. Mor. Barocc. Vrat. A. συρραγήσῃ Tzetzes Alleg. 78. — 200 ἦ ῥὰ CGHL. ἐρύσατο G Lips. ὄμβριμον ἔγχος L. — 201 καταυτόθι G Syr. Flor. λίπεν D. λεῖπε Lips. — 202 ΔΙΑΙΝΕΙ Ambr. ΫΔΩΡ' Syr. φίλον ἦτορ C et in marg. man. rec. γρ. μέλαν ὕδωρ. — 203 ἄρ ADGHL. ἀμφ' ἐπένοντο H Syr. — 204 ΕΠΕΙΝΕΦΡΙΔΙΟΝ Syr. κείραντες (ον supra) L. — 205 ὃ ACDGHL. βῆ ῥ' CDGH Syr. βῆ A Ambr. L Lips. Ven. B. — 206 παρ AD.

---

A. c. 190 ἁλιμυρηέντων Aristarchus. — 191 ἀρίσταρχος ἔξω τοῦ δὲ κρείσσων αὖτε Didymus. — 195 οὐδὲ: ἀρίσταρχος οὔτε βαθυρρείταο Didymus. Ζηνόδοτος αὐτὸν οὐκ ἔγραφε Aristonicus.

ὥϲ εἶδον τὸν ἄριϲτον ἐνὶ κρατερῇ ὑϲμίνῃ
χέρϲ᾽ ὕπο Πηλεΐδαο καὶ ἄορι ἶφι δαμέντα.
ἔνθ᾽ ἕλε Θερϲίλοχόν τε Μύδωνά τε Ἀϲτύπυλόν τε
Μνῆϲόν τε Θραϲίον τε καὶ Αἴνιον ἠδ᾽ Ὀφελέϲτην·
καί νύ κ᾽ ἔτι πλέοναϲ κτάνε Παίοναϲ ὠκὺϲ Ἀχιλλεύϲ,
εἰ μὴ χωϲάμενοϲ προϲέφη ποταμὸϲ βαθυδίνηϲ,
ἀνέρι εἰϲάμενοϲ, βαθέηϲ δ᾽ ἐκ φθέγξατο δίνηϲ·
ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέειϲ, περὶ δ᾽ αἴϲυλα ῥέζειϲ
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουϲιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶαϲ ἔδωκε Κρόνου παῖϲ πάνταϲ ὀλέϲϲαι,
ἐξ ἐμέθεν γ᾽ ἐλάϲαϲ πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰϲ ἅλα δῖαν
ϲτεινόμενοϲ νεκύεϲϲι, ϲὺ δὲ κτείνειϲ ἀϊδήλωϲ.
ἀλλ᾽ ἄγε δὴ καὶ ἔαϲον· ἄγη μ᾽ ἔχει ὄρχαμε λαῶν.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
ἔϲται ταῦτα Ϲκάμανδρε διοτρεφέϲ, ὡϲ ϲὺ κελεύειϲ.
Τρῶαϲ δ᾽ οὐ πρὶν λήξω ὑπερφιάλουϲ ἐναρίζων,
πρὶν ἔλϲαι κατὰ ἄϲτυ καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἤ κέν με δαμάϲϲεται, ἦ κεν ἐγὼ τόν.
ὣϲ εἰπὼν Τρώεϲϲιν ἐπέϲϲυτο δαίμονι ἶϲοϲ.

---

V. ι. 207 ἴ̈δον C. ἐνι AD. ὑϲμένηι H. — 208 ὑπὸ ACDL. ὕπο H Syr. — 209 ἕλετ᾽ ὀρϲίλοχον Vrat. b. — 210 θράϲιόν GL. θραϲίων D. ἤ̈δ᾽ H. — 211 νύ κέ τι D. ἔκτανε AC. ἀχιλεὺϲ C. — 212 ΠΡΟϹΈΦΗ ΞΑΝΘΟϹ Syr. suprascr. 2. man. ποταμοϲ. — 213 ΕΙΔΟΜΕΝΟϹ Ambr. γρ. καὶ εἰδόμενοϲ A. βαθείηϲ ἐκφέγξατο L. δ᾽ ἐφθέγξατο ACDGHS Ven. B. Lips. Tzetz. Alleg. 86. ΔΕΦΘΈΓΞΑΤΟ Syr. „ἐκφθέγξατο edidit Barnesius ex emendatione Isaaci Casauboni" Clarke. — 214 περὶ μὲν CD. πέρι δ᾽ H. πέρι̇̈ μὲν H (sic) πέρι bis GL Flor. Rhet. Gr. III, 374, 10. — 215 ἀμύνουϲι CDEGHL Vrat. A. Flor. Rom. — 216 εἴ ϲοι EG. τρῷαϲ L. — 217 κατα DL. κατὰ H. ῥέζειν D Rom. ῥέζειν ἤγουν ῥέζε E. ῥέξε H 1. man. nunc ῥέξαι (α suprascr.). — 218 αἰπεινὰ ῥέεθρα Vrat. A. ῥέεθρον H. — 219 οὐδέ τι π̄η ADGH. οὐδέ τι πη CL. οὐδέ τί πη E. οὐδέ τί πῃ Schol. Π 71. οὐδέ τι πῆ Rhet. Gr. III, 374, 16. — 220 δεινόμενοϲ Vrat. d. — 221 ἔαϲϲον C. — 222 ἀχ̈ιλεύϲ C. — 223 κάμανδρε L Harl. — 224 τρῷαϲ L. — 225 ἕλϲαι CH. ἐλάϲαι S Cant. Harl. ἔλϲαι, ὅ ἐϲτιν ἐλάϲαι ϲυγκλεῖϲαι E, conf. adnot. ad ε 132. η 250. — 226 εἴ κέν με D. — 227 ὡϲ A. τρῴεϲϲιν L.

---

A. ι. 213 τὸ δὲ βαθέηϲ χωρὶϲ τοῦ δ Schol. A. — 217 οὕτω διὰ τοῦ γε ἐμέθεν γ᾽ ἐλάϲαϲ Didymus. τινὲϲ πελάϲαϲ Schol. V. — 221 ἔαϲον: alii ἔαϲον teste Schol. V.

καὶ τότ᾿ Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
ὢ πόποι ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ᾿ ἐπέτελλε
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ᾿ ἐρίβωλον ἄρουραν.
ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρὶ κλυτὸς ἔνθορε μέσσῳ
κρημνοῦ ἀπαΐξας· ὁ δ᾿ ἐπέσσυτο οἴδματι θύων,
πάντα δ᾿ ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ᾿ αὐτὸν ἅλις ἔσαν, οὓς κτάν᾿ Ἀχιλλεύς·
τοὺς ἔκβαλλε θύραζε μεμυκὼς ἠύτε ταῦρος,
χέρσον δέ· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.
δεινὸν δ᾿ ἀμφ᾿ Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὤθει δ᾿ ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι. ὁ δὲ πτελέην ἕλε χερσὶν
εὐφυέα μεγάλην· ἡ δ᾿ ἐκ ῥιζέων ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
ὄζοισιν πυκινοῖσι, γεφύρωσεν δέ μιν αὐτὸν
εἴσω πᾶσ᾿ ἐριποῦσ᾿· ὁ δ᾿ ἄρ᾿ ἐκ δίνης ἀνορούσας

V. L. 229 ὢ πόποι ADH. ὢ πόσοι G. βουλὴν E. — 230 ὅ, τι L. ὅτϊ H Lips. ἐπέτελλε ACDEGL Syr. — 231 τρῳσὶ L. παριστάμεναι ACG Ven. B. εἰς ὅ κεν A Et. Mg. 33, 48. ἔλθοι C Vrat. A. — 232 σκιάσει
ε
D. — 233 ἀχϊλεὺς C. δουρὶ κλυτὸς ADEH Rom. — 234 ἀπαΐξας A. ἐπαΐξας S Mor. Barocc. ὑπαΐξας L Lips. Harl. ἀπαΐσσων G Flor. ὁ δ᾿ D. ὅδ᾿ CGHL. θύιων A. — 236 οἳ ῥὰ L ἅλις D ex corr. ἦσαν C. ἔσαν ἅλις E Harl. Mosc. 2. ἀχιλεύς C. — 237 ἔκβαλε CE Vrat. A. ἐν ἄλλῳ τοὺς ἐξῆγε A. — 238 χέρσον δέ ADG. δὲ, σάω H. δὲ ante σάῳ omitt. D 1. man. δὲ σάω ACD 2. man. E Syr. Ven. B. Lips. Townl. Harl. Vrat. d. A. Rom. Cram. An. Par. III, 28, 6. δ᾿ ἐσάω GLS Schol. Φ 343.
ω
κατα AH. — 239 omitt. C. κρύπτον H. βαθείῃσι ADE Vrat. A. Schol. λ 243. μεγάλῃσι ADEGH Syr. — 240 ἵστατο ῥεῦμα S Cant. — 241 ὤθει C ex corr., 1. man. ὅθϊ. — 242 εἶχε: εἶα L Lips. στηρίζεσθαι Dion. Halic. de Comp. verb. XVI. ὁ δὲ CH. ἕλε H 1. man. ἔχε 2. man. εἷλε C. — 243 ἣδ᾿ CGHL. * ῥιζέων: ῥιζῶν libri. — 245 ὄζοισι EG Lips. Flor. Rom. ὄξοισι H. γεφύρωσε CDEH Lips. Flor. Rom. ἐν ἄλλῳ γεφύρωσεν δὲ κέλευθον A, conf. O 357. — 246 ἐρϊποῦσα H. ὁ δ᾿ D. ὅδ᾿ CGHL. ἆρ ADEGHL. ἐκ λίμνης DEHL Lips. Ven. B. γρ. καὶ ἐκ δίνης E 1235, 26, ita AC Syr. Harl. Mor. Mosc. 2. ἐν δίνῃς Vrat. A.

A. c. 232 τὸ ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου Herodianus, conf. Eust. 1235, 4. — 243 ῥιζέων, conf. ad Λ 69. — 246 ἀρίσταρχος ἐν δίνης (sic), ἄλλοι ἐκ λίμνης Didymus. ὅτι διχῶς γράφεται ἐκ λίμνης καὶ ἐκ δίνης Aristonicus? ἐκ λίμνης: οὕτως ἡ γραφή· οἱ δὲ ἐκ δίνης. τινὲς δὲ καὶ ῥιπῆς γράφουσιν Schol. V.

ἤϊξεν πεδίοιο ποϲὶ κραιπνοῖϲι πέτεϲθαι,
δείϲαϲ. οὐδέ τ' ἔληγε θεὸϲ μέγαϲ, ὦρτο δ' ἐπ' αὐτῷ
ἀκροκελαινιόων, ἵνα μιν παύϲειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεϲϲι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδηϲ δ' ἀπόρουϲεν ὅϲον τ' ἐπὶ δουρὸϲ ἐρωή,
αἰετοῦ οἴματ' ἔχων μέλανοϲ, τοῦ θηρητῆροϲ,
ὅϲ θ' ἅμα κάρτιϲτόϲ τε καὶ ὤκιϲτοϲ πετεηνῶν·
τῷ εἰκὼϲ ἤϊξεν, ἐπὶ ϲτήθεϲϲι δὲ χαλκὸϲ
ϲμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιαϲθεὶϲ
φεῦγ', ὃ δ' ὄπιϲθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
ὡϲ δ' ὅτ' ἀνὴρ ὀχετηγὸϲ ἀπὸ κρήνηϲ μελανύδρου
ἂμ φυτὰ καὶ κήπουϲ ὕδατι ῥόον ἡγεμονεύῃ
χερϲὶ μάκελλαν ἔχων, ἀμάρηϲ ἐξ ἔχματα βάλλων·

---

V. L. 247 ἤϊξε CDE. πέτεϲθαι: ἐν ἄλλῳ φέρεϲθαι A. — 248 θεὸϲ μέγαϲ ACDEH Syr. Ven. B. Vrat. b d. μέγαϲ θεὸϲ GL Lips. edd. vett. ἐπ' αὐτῷ ACDGHL Ven. B. Lips. Cant. Mor. Harl. Townl. Vrat. b. d. ἐπ' αὐτὸν E Syr. Rom., quod editores receperunt praeter Hoffmannum. ὦρτο δ' ἐπ' αὐτούϲ legitur Ε 590. Λ 343; sed usitatior est dativus, conf. Ε 629. Μ 293. Ξ 401. Ο 579. 726. Ρ 677. 725. κ 214. χ 80. Annal. Gymn. Austr. 1870, pg. 90 et 105. — 219 ἀκροκελαινιόων A. πόνοιο libri cum Apoll. Soph. 20, 4. Cram. An. Ox. III, 261, 23: ΦΟΝΟΙΟ Syr. — 250 omitt. H in textu, habet in marg. man. rec. scr. ἀχῖλῆα C. τρῴεϲϲι L. — 251 ἔπι D. ἐρωή: ἐρωὴν ADG. ἐρωὴν ἢ ἐρωὴ Eust. 1235, 31. — 252 ΟΙ̃ΜΆΤ' Syr. — 253 ὥϲθ H. — 254 ἔπι AD. ϲτήθεϲφι D. ϲτήθεϲι E. — 256 ὃ δ' D. ὅδ' CGHL. ὀρυγμαδῷ G 1. man. H. μεγάλω ἀλαλητῷ C. — 257 ΑΝῊΡ' Syr. — 258 ἀμφυτὰ ACDEG Syr. Et. Mg. 77, 14. ἂμ φυτὰ L. ἀνφυτὰ H. ἂν φυτὰ Cant Vrat. A. ὕδατι ACDEH Ven. B. Barocc. Harl. Townl. ὕδατοϲ GLS Syr. Et Mg. 77, 15. ἡγεμονεύῃ AD EH Syr. Harl. Vrat. d. Mosc. 2. ἡγεμονεύει CGLS Lips. Et. Mg. 77, 15. ἡγεμονεύοι Vrat. A. — 259 ἀμάρηϲ A. ἐξ omitt. C. ἐξέχματα H. ΔΕΞ Syr. δ' omitt. ACDEGHLS Ven. B. Lips. Cant. Mor. Mosc. 2. Flor. Rom. Apoll. Soph. 25, 23. 80, 21. Et. Mg. 77, 15. Eust. 904, 2. δ' receperunt. Barnes. Clarke. Heyne. eiecit Wolfius.

---

A. c. 247 πεδίοιο Aristarchus: alii πεδίον δέ. — 249 οὕτωϲ πόνοιο αἱ Ἀριϲτάρχου διὰ τοῦ π̄. Ἀριϲτοφάνηϲ φόνοιο, καὶ λόγον ἔχει Didymus. — 251 ἐρωή: conf. ὅϲον τ' ἐπὶ δουρὸϲ ἐρωὴ γίγνεται Ο 358. ὅϲϲόν τ' ἐπὶ οὖρα πέλονται Κ 351. ἕϲτηκε ξύλον ὅϲον τ' ὄργυια Ψ 327. ἐρωήν defendi non potest analogia locorum ι 325 ὅϲον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα. κ 167 πεῖϲμα δ' ὅϲον τ' ὄργυιαν πλεξάμενοϲ. κ 113 γυναῖκα εὗρον ὅϲην τ' ὄρεοϲ κορυφήν. ι 321 τὸ μὲν ἄμμεϲ ἐίϲκομεν εἰϲορόωντεϲ ὅϲϲόν θ' ἱϲτὸν νηόϲ. — 252 οἴματ' Aristarchus: ὄμματ' Philetas, conf. Ariston. ad Χ 308. Eust. 1235, 39. μέλανοϲ τοῦ Herodianus: μελανόϲ του Aristarchus. μελανόϲτου Aristoteles, conf. Eust. 1235, 41. τινὲϲ δὲ γράφουϲι μελανόϲϲου Schol. D. Cram. An. Par. III. 27, 21, conf. Eust. 1235, 43.

τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
ὀχλεῦνται· τὸ δέ τ᾽ ὦκα κατειβόμενον κελαρύζει
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
ὁσσάκι δ᾽ ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
στῆναι ἐναντίβιον, καὶ γνώμεναι, εἴ μιν ἅπαντες
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
πλάζ᾽ ὤμους καθύπερθεν· ὃ δ᾽ ὑψόσε ποσσὶν ἐπήδα
θυμῷ ἀνιάζων· ποταμὸς δ᾽ ὑπὸ γούνατ᾽ ἐδάμνα
λάβρος ὕπαιθα ῥέων, κονίη δ᾽ ὑπέρεπτε ποδοῖιν.
Πηλείδης δ᾽ ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
  Ζεῦ πάτερ, ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλος δ᾽ οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
ἥ μ᾽ ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ᾽ ὄφελ᾽ Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ᾽ ἔτραφ᾽ ἄριστος·
τῶ κ᾽ ἀγαθὸς μὲν ἔπεφν᾽, ἀγαθὸν δέ κεν ἐξενάριξε.
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι

V. l. 260 μέν τοι H. προῤέοντος AG. ὑπο CDEGHL Syr. ψηφίδες CDGHL. — 262 ἐνι AD. ἐνὶ CEGHL. τε omitt. Vrat. A. Flor. — 263 ὡς AD 1. man. ἀεὶ H. ΚΥ̓ΜΑ Syr. — 265 ὡρμήσειε C. ἀχῖλεὺς C. — 267 τοῖ A. ἔχουσι ACDEG Syr. — 269 καθῦπερθεν A. καθ᾽ ὕπερθεν D. δ δ᾽ D. ὅδ᾽ CGL. — 270 ὑπο ADGH Syr. — 271 ὑπέριπτε L Lips. γρ. καὶ ὑπέρεπτεν (ὑπέριπτε?) ἀντὶ τοῦ ὑφήρπαζεν Schol. Paris. — 273 ΠΆΤΕΡ᾽ Syr. — 277 τρῴων L. ὗπο H. — 279 κτεῖν᾽ D, apostr. add. 2. man. γ᾽ ἔτραφ᾽ AD Mor. τέτραφ᾽ A in marg. CEGHLS Lips. Schol. Ψ 348. τ᾽ ἐτράφ᾽ Townl. ἐν ἄλλῳ ἐνθάδε τέτραφ᾽ ἄριστος A. ΕΝΘΑΔΕ ΤΕΤΡΑΦ Syr. — 280 τῶ ACDGHL. ΤΩ Syr. τῷ E. ἀγαθὸν μὲν E bis. ἔπεφν D. ἔπεφνεν L. ἀγαθὸς δέ κεν E bis. ἐξενάριξε ACDEG Syr. — 281 εἶμαρτο D. εἵμαρτο ὀλέσθαι H Vrat. d.

A. c. 260 τὸ προρέοντος οὐ διπλασιάζει τὸ ρ̄. ἔνια δὲ τῶν ἀντιγράφων Ἀττικῶς διπλάζοντα τοῦτο συνίζησιν ποιοῦσι τῶν μετ᾽ αὐτὸ δύο συλλαβῶν Eust. 1235, 63. — 262 οὕτω φθάνει διὰ τοῦ ἑτέρου ε̄, οὐ φθανέει Didymus. Zenodotus φθανέει teste Schol. V. conf. Ariston. ad I 506. — 265 γράφεται καὶ οἰμήσειε· προκρίνει δὲ τὴν διὰ τοῦ ρ̄ γραφὴν Ἀρίσταρχος Didymus. — 279 γ᾽ ἔτραφ᾽ scribendum est notione intransitiva ut B 661. Ε 555. Η 199. Ζ 436. γ 28. Herodianus γ᾽ ἐτράφ᾽ (= ἐτράφη). οἱ πολλοὶ τέτραφ᾽ ἄριστος ἀπὸ τοῦ τ̄ ποιοῦντες τὴν ἀρχὴν Herodianus. — 281 ὀλέσθαι Demetrius Ixion in eodem versu ε 312.

ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβόν,
ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα.
ὣς φάτο, τῷ δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐίκτην,
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσσι.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Πηλείδη, μήτ' ἄρ τι λίην τρέε μήτέ τι τάρβει·
τοίω γάρ τοι νῶι θεῶν ἐπιταῤῥόθω εἰμέν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν.
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιίου πολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωικόν, ὅς κε φύγῃσι. σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.
τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην,
αὐτὰρ ὃ βῆ, μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμή,
ἐς πεδίον· τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν

V. l. 283 ἀποέρσῃ AE 1236, 65 S Syr. Barocc. Mor. Harl. Townl. Vrat. b. d. A. ἀπὸ ἔρσῃ D, spir. man. rec. ἀποἕρσῃ H. ἀποέρσει CE 1236, 26 GL Et. Mg. 377, 42. Schol. Z 348. ἀποερσεῖ Lips. περώντα G. περόωντα S. — 284 ὡς A. τὼ δὲ C. ποσιδάων A Syr. ποσειδ A in marg. — 285 ἰόντες G Flor. ἔϊκτον Vrat. b. — 286 ἐπέεσσι ACDGH Syr. — 287 ποσιδάων A Syr., A in marg. ποσειδ. — 288 μήμ ἄρτι G. ἀρ, τι A. ἄρ, τι H. μήτέ τι ACDE 1237, 29 H Et. Gud. 653, 5. μὴ τέ τι G. μήτ' ἔτι L. μηδέ τι Eust. 1237, 13. — 289 τοίω γάρ τι [θι] D. ἐπιτάρροθοί εἶμεν D Vrat. A. — 291 αἴσιμον ἐστὶν L. — 292 σὺ δ' C. — 293 αὐτάρ τοι EHL Lips. edd. vett. αὐτὰρ τοι G. αὐτάρ τοι [c] A. αὐτάρ τοι σοὶ D. αὐτάρ σοι C Ven. B. Syr. ὑποθήσομαι D. πῖθηαι [σο] C, σο add. 2. man. — 294 παύσειν S. ψαύειν L Lips. πτολέμοιο DGH. — 295 ΙΛΙΟΦΙ Syr. ἰλιόφιν ACDEGHL edd. vett. — 296 τρῳϊκὸν L. ἀπηύρας Harl. — 297 ἐπι D. νῆας ἴναι L Lips. — 298 ἂρ ADGHL. ὡς AD. — 299 ὃ ACDGHL. μέγα: ΜΑΛΑ Syr. γὰρ ῥὰ L. — 300 κεχυμένοιο C. — 301 δαΐ, κταμένων A. δαΐ κταμένων CH.

A. c. 282 ψιλωτέον τὸ ἐρχθέντ' Schol. A. εἰρχθέντ' ed. Massiliensis. — 290 ἀθετεῖται Aristonicus. — 293 τοι: αὐτὰρ σοὶ Bekk. 2. Dindorf. — 297 ἂψ ἐπὶ νῆας ἴμεν, conf. C 14. — 301 δαΐ κταμένων: ἄμεινων κατὰ διάλυσιν, ὡς ἄρηϊ κταμένῳ (X 72)· οὐδὲν γὰρ πλέον ἐκ τῆς συνθέσεως Herodianus, cf. H. T. 312.

πλῶον καὶ νέκυεc. τοῦ δ᾽ ὑψόcε γούνατ᾽ ἐπήδα
πρὸc ῥόον ἀίccοντοc ἀν᾽ ἰθύν, οὐδέ μιν ἴcχεν
εὐρὺ ῥέων ποταμόc· μέγα γὰρ cθένοc ἔμβαλ᾽ Ἀθήνη.
οὐδὲ Cκάμανδροc ἔληγε τὸ ὃν μένοc, ἀλλ᾽ ἔτι μᾶλλον
χώετο Πηλείωνι, κόρυccε δὲ κῦμα ῥόοιο
ὑψόc᾽ ἀειρόμενοc, Cιμόεντι δὲ κέκλετ᾽ ἀύcαc·
φίλε καcίγνητε, cθένοc ἀνέροc ἀμφότεροί περ
cχῶμεν, ἐπεὶ τάχα ἄcτυ μέγα Πριάμοιο ἄνακτοc
ἐκπέρcει, Τρῶεc δὲ κατὰ μόθον οὐ μενέουcιν.
ἀλλ᾽ ἐπάμυνε τάχιcτα, καὶ ἐμπίμπληθι ῥέεθρα
ὕδατοc ἐκ πηγέων, πάνταc δ᾽ ὀρόθυνον ἐναύλουc,
ἵcτη δὲ μέγα κῦμα, πολὺν δ᾽ ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύcομεν ἄγριον ἄνδρα,
ὃc δὴ νῦν κρατέει, μέμονεν δ᾽ ὅ γε ἶcα θεοῖcι.
φημὶ γὰρ οὔτε βίην χραιcμηcέμεν οὔτέ τι εἶδοc,
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνηc
κείcεθ᾽ ὑπ᾽ ἰλῦοc κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
εἰλύcω ψαμάθοιcιν ἅλιc, χέραδοc περιχεύαc
μυρίον, οὐδέ οἱ ὀcτέ᾽ ἐπιcτήcονται Ἀχαιοὶ
ἀλλέξαι· τόccην οἱ ἄcιν καθύπερθε καλύψω.

---

V. l. 303 ἀνιθύν D. ἔcχε G Syr. Lips. ἴcχεν S. — 304 εὐρὺ ῥέων ACDEGL. μέγα δὲ S. — 305 κάμανδροc L Harl. τεὸν μένοc G Schol. N 424. — 308 φῖλε AL Syr. — 310 ἐκπέρcαι[ει] H. ἐκπέρcαι Vrat. d. τρῷεc L. κατα A. ΜΕΝΕΟΥϹΙ Syr. — 311 ΕΠΑΜΥΝΑΙ Syr. ἐκπίμπληθϊ C. ἐμπῖπληθει H. ΕΜΠΙΠΛΗΘΕΙ Syr. ἐπίπληθε L. ceteri ἐμπίπληθι, quod correxi, poëta enim forma πίπλημι non utitur, conf. Α 104. Ι 679. Φ 23. δ 662. κ 248. υ 349. de μ̄ in libris mss. omisso conf. Α 569. Β 572. Ε 662. Η 188. 259. 272. Ο 521. Ρ 413. 427. 465. Φ 178. Ψ 334. 338 et quae exempla congessi H. U. 224, sq. — 313 δὲ omitt. H. ὀρυγμαδὸν CGH Flor. — 314 παύcωμεν DH. παύcομαι G. — 315 μέμονε E. μέμηνε L. μέμηνεν Lips. ἴcα D. θεοῖcι ACDE Syr. — 316 οὔτέ τι ACHL. — 317 τὰ omitt. CH. — 318 ἰλῦοc ADL Ven. B. ἰλύοc CEGH Et. Mg. 477, 18. Et. Gud. 283, 25. ΕΙΛΎΟϹ Syr. καδδέ ACDGHL Syr. κὰδ δέ E Apoll. de Pron. 47 A. 102 B. de Synt. 142, 10. de Adv. 550, 31. — 319 εἰλύcω[η] L. εἰλύccω Harl. ἅλιc, χέραδοc A. χεράδοc H. — 320 ὄcτε᾽ D. — 321 ἀλέξαι H. ἄcην L Lips. edd. vett. καθ᾽ ὕπερθε C. ἐφύπερθε Cram. Ep. 225, 8.

---

A. c. 303 ἔcχεν libri: ἀρίcταρχοc διὰ τοῦ ῑ ἴcχεν Didymus. — 308 φῖλε, conf. ad Δ 155. Ε 359. — 319 διχῶc ἡ γραφή (εἰλύcω et ἰλύcω) Schol. V; conf. Eust. 1238, 4. χέραδοc Aristarchus, non χεράδοc. — 321 ἀρίcταρχοc ἀνλέξαι διὰ τοῦ ν̄ Didymus.

αὐτοῦ οἱ καὶ cῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔcται τυμβοχόηc, ὅτε μιν θάπτωcιν Ἀχαιοί.
ἦ, καὶ ἐπῶρτ᾽ Ἀχιλῆι κυκώμενοc, ὑψόcε θύων,
μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεccιν.
πορφύρεον δ᾽ ἄρα κῦμα διιπετέοc ποταμοῖο
ἵcτατ᾽ ἀειρόμενον, κατὰ δ᾽ ᾕρεε Πηλεΐωνα.
Ἥρη δὲ μέγ᾽ ἄυcε περιδείcαc᾽ Ἀχιλῆι,
μή μιν ἀποέρcειε μέγαc ποταμὸc βαθυδίνηc.
αὐτίκα δ᾽ Ἥφαιcτον προcεφώνεεν, ὃν φίλον υἱόν·
ὄρcεο κυλλοπόδιον, ἐμὸν τέκοc· ἄντα cέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠίcκομεν εἶναι·
ἀλλ᾽ ἐπάμυνε τάχιcτα, πιφαύcκεο δὲ φλόγα πολλήν.
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεcτᾶο νότοιο
εἴcομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρcουcα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰc καὶ τεύχεα κήαι
φλέγμα κακὸν φορέουcα. cὺ δὲ Ξάνθοιο παρ᾽ ὄχθαc
δένδρεα καῖ᾽, ἐν δ᾽ αὐτὸν ἵει πυρί· μὴ δέ cε πάμπαν
μειλιχίοιc ἐπέεccιν ἀποτρεπέτω καὶ ἀρειῇ·
μὴ δὲ πρὶν ἀπόπαυε τεὸν μένοc, ἀλλ᾽ ὁπότ᾽ ἂν δὴ

V. L. 322 cῆμα: μοῖρα Et. Mg. 169, 18. οὐδέ τι μιν ACDHL. — 323 θυμβοχοῆc CDEGHLS Syr. edd. vett. τυμβοχοῆc᾽ A. θάπτουcιν CEL Lips. Harl. Mosc. 2. — 324 θύιων A. — 325 νεκύεccι ACDE Syr. — 327 ἀειράμενον D. κατα CDL. ἤρρεε D. ᾗρεε H. ἤρεε L. ἤρει Lips. — 328 δὲ: δ᾽ αὖ Tzetzes Alleg. 140. περιδείcαc᾽ Lips. περιδείcαc L: ceteri περιδδείcαc᾽. ἀχιλλῆϊ E. ἀχῖλῆοc C. — 330 ἥφαιcτοc προcεφώνεε φίλον G. προcεφώνεε D Flor. Rom. προcεφώνει Tzetzes Alleg. 141. — 331 κυλλοποδίον D ex corr. Lips. — 332 μάχην D. ἐΐcκομεν H. ἠΐcκομαι S. ἠΐcκομεν ἢ ἐΐcκομεν E 1238, 29. — 333 πιcαύcκεο G. — 334 ἀργεcτᾶο ACDEGHL Mosc. 2. Rom. Strabo I, 29. ἀργέcταο Lips. Flor. — 335 ἴcομαι Et. Mg. 306, 14. Zonar. Lex. 634. ἐξαλόθεν AD. ὀρέουcα θύελλαν Pseudoplut. 129, 14. — 336 ἀπο C. τρῴων L. ΚΉΑΙ Syr. κήαι G Ven. B. Lips. κῄαι E. κῆαι ADH. κῇαι L. κῆαι (ε supra) C. κῆε Townl. κῇε Vrat. b. — 338 ἒν A. ἶει A. μὴ δέ AEGH. — 339 ἀποτρεπέτῳ G. — 340 μὴ δὲ ACDEGHL Ven. B. Lips. ΜῊΔΕ Syr. ὁπότ᾽ ἂν ADEH Vrat. b. d. ὁπόταν CGL Syr.

A. c. 323 τυμβοχόηc Crates: τυμβοχοῆc᾽ Aristarchus, Ptolem. Ascalonita, Herodianus cum plerisque, conf. Zonar. Lex. 1757. Eust. 1238, 18. Lobeck. ad Phryn. 498. H. S. 249. — 331 ἀθετεῖται Aristonicus. τὸ δὲ κυλλοπόδιον Ἀρίcταρχοc προπαροξύνει, ᾧ καὶ ἐπείcθημεν Herodianus. — 335 ὄρcουcα: ὄρcαcα Zenodotus. — 336 ἥ κεν: ἤ κεν Zenodotus teste Aristonico ad vs. 335. προπεριcπαcτέον τὸ κῆαι· ἔcτι γὰρ ἀπαρέμφατον Herodianus.

φθέγξομ᾽ ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ.
   ὣς ἔφαθ᾽, Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ᾽ αὐτὸν ἅλις ἔσαν, οὓς κτάν᾽ Ἀχιλλεύς.
πᾶν δ᾽ ἐξηράνθη πεδίον, σχέτο δ᾽ ἀγλαὸν ὕδωρ.
ὡς δ᾽ ὅτ᾽ ὀπωρινὸς βορέης νεοαρδέ᾽ ἀλωὴν
αἶψ᾽ ἀνξηράνῃ· χαίρει δέ μιν ὅς τις ἐθείρῃ·
ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ᾽ ἄρα νεκροὺς
κῆεν· ὃ δ᾽ ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν.
καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι,
καίετο δὲ λωτός τε ἰδὲ θρύνον ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει·
τείροντ᾽ ἐγχέλυές τε καὶ ἰχθύες οἳ κατὰ δίνας,
οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα
πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
καίετο δ᾽ ἲς ποταμοῖο ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
   Ἥφαιστ᾽, οὔ τις σοί γε θεῶν δύνατ᾽ ἀντιφερίζειν,

---

V. l. 342 omitt. Barocc. ὡς A. — 343 καίετο Vrat. A. καῖε ἢ δαῖε E. δαῖε Vrat. b. A. Mosc. 2. — 344 οἳ ῥὰ DL. κατ᾽ αὐτὸν ADEG HLS Syr. et Heynii libri. κατ᾽ αὐτὸ‖ C post ras. ἦσαν C. ἀχϊλεύς C. — 345 ΥΔΩΡ᾽ Syr. — 346 ἀλῳὴν AE. ἀλωιὴν C. ἀλωὴν Vrat. b. ceteri ἀλωήν. — 347 ἀν, ξηράνηι A. ἂν ξηράνῃ DEG Townl. Vrat. b. d. Mosc. 2. Flor. Rom. ἀνξηράνη HLS. ΑΝΞΗΡΑΝΗΙ Syr. ἀνξηράνει C. αἶψα ξηραίνῃ Vrat. A. ἐθείρῃ ACGH Syr. Cant. Mor. Harl. Vrat. b. A. Mosc. 2. Apoll. Soph. 63, 10. ἐθείρει D ex corr. eiusdem man. EL Lips. — 348 ὡς A. καδδάρα A Syr. καδδ᾽ ἄρα CDGHL. — 349 κῆεν GHL. κῆε E. ὃ δ᾽ D. ὅδ᾽ CGHL. ἀνποταμὸν H. τρέψεν A Syr. Vrat. A. — 350 est lacuna in Syr. αἱ δὲ μυρῖκαι L. αἵδε μυρῖκαι Lips. μυρίκαι CE GL. — 351 δὴ λωτός τε G. τε ἰδὲ ACDHL Flor. Rom. Heracl. Alleg. c. 11. τε ἠδὲ EG. ἰδὲ Schol. Nicandr. Theriac. 200. κύπερον D. — 352 περι D. — 353 σείροντ᾽ G. οἳ CDE 1239, 63 GL Ven. B. Lips. κατα D. — 354 κατα D. — 356 ὀνόμαζε DH. — 357 ἰσοφαρίζειν Harl. Mosc. 2. ἀντιφερίζειν ἢ ἰσοφαρίζειν Eust. 1240, 39.

---

A. c. 344 κατ᾽ αὐτὸν dedi ex libris et recepissem αὐτὸ ex cod. C, si poëta hac forma esset usus. recentiores fere omnes ex coniectura Wolfii κατ᾽ αὐτόθι scripserunt, quibus assentiri non possum; nam ubi κατ᾽ αὐτόθι legitur, κατά cum verbo (λείπειν, ἕζεσθαι, μένειν) est iungendum, conf. H. U. 246. Heynius, quem secuti sunt Bothe, Hoffmann, Düntzer, hunc versum ex vs. 236 interpolatum esse putat. — 346 ἔνιοι δὲ νεοαλδέα διὰ τοῦ λ̄, νεοαύξητον Apoll. Soph. 116, 5. — 347 ἀρίσταρχος αἶψ᾽ ἀνξηράνῃ Didymus. ἐξαυαίνῃ Aristophanes. — 351 τε ἰδέ: τ᾽ ἠδέ, conf. ad P 534. 351 κύπειρον: αἱ ἐκ τῶν πόλεων κύπαιρον (cod. κύπαρον) εἶχον Didymus, conf. Eust. 1239, 62. Cram. Epim. 112, 8. — 355 οὕτως πνοιῇ, ἔν τισι δὲ ῥιπῇ Didymus. — 356 καίετο δ᾽ ἴς: καί ἑ τόδ᾽ ἴς Ptolemaeus Pindarion.

οὐδ' ἂν ἐγὼ ϲοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδοϲ, Τρῶαϲ δὲ καὶ αὐτίκα δῖοϲ Ἀχιλλεὺϲ
ἄϲτεοϲ ἐξελάϲειε· τί μοι ἔριδοϲ καὶ ἀρωγῆϲ;
φῆ πυρὶ καιόμενοϲ, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
ὡϲ δὲ λέβηϲ ζεῖ ἔνδον ἐπειγόμενοϲ πυρὶ πολλῷ,
κνίϲην μελδόμενοϲ ἁπαλοτρεφέοϲ ϲιάλοιο
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,
ὣϲ τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ·
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴϲχετο· τεῖρε δ' ἀυτμὴ
Ἡφαίϲτοιο βίηφι πολύφρονοϲ. αὐτὰρ ὅ γ' Ἥρην
πολλὰ λιϲϲόμενοϲ ἔπεα πτερόεντα προϲηύδα·
Ἥρη, τίπτε ϲὸϲ υἱὸϲ ἐμὸν ῥόον ἔχραε κήδειν
ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόϲον αἴτιόϲ εἰμι,
ὅϲϲον οἱ ἄλλοι πάντεϲ, ὅϲοι Τρώεϲϲιν ἀρωγοί.
ἀλλ' ἦ τοι μὲν ἐγὼν ἀποπαύϲομαι, εἰ ϲὺ κελεύειϲ,
παυέϲθω δὲ καὶ οὗτοϲ. ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
μή ποτ' ἐπὶ Τρώεϲϲιν ἀλεξήϲειν κακὸν ἦμαρ,
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶϲα δάηται
καιομένη, καίωϲι δ' ἀρήιοι υἷεϲ Ἀχαιῶν.
αὐτὰρ ἐπεὶ τό γ' ἄκουϲε θεά λευκώλενοϲ Ἥρη,
αὐτίκ' ἄρ' Ἥφαιϲτον προϲεφώνεεν, ὃν φίλον υἱόν·
Ἥφαιϲτε, ϲχέο, τέκνον ἀγακλεέϲ· οὐ γὰρ ἔοικεν
ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα ϲτυφελίζειν.

---

V. L. 358 ϲοὶ δ' D. πυριφλεγέθοντι CDL. — 359 τρῷαϲ L. ἀχϊλεὺϲ C. — 360 ΚΑῚ ΑῩΤΗϹ Syr. — 361 ἀνα ACDGL. ΑΝᾺ ΔΕΦΛΥΕ Syr. δ' ἔφλυνε Zonar. Lex. 1524. ἂν δ' ἔφλυε Vrat. b. — 363 κνίϲην ACD. κνίϲϲην G Syr. κνίϲϲῃ E bis edd. vett. Macrob. Sat. V, 11, 23. Eust. 1312, 27. κνίϲϲη LS Lips. κνῖϲη H Suidas II, 1, 760, 17. κνίϲῃ Apoll. Soph. 110, 32. Athenaeus I, 25. ἁπαλοτρεφέοϲ A. ἁπαλητρεφέοϲ L. — 364 ὑπο AL Syr. — 365 ὡϲ A. Ύ́ΔΩΡ' Syr. — 366 ἠδ' ἔθελε L. οὐδ' ἐθέλει Schol. Arist. Av. 582. Suidas II, 1, 1207, 18. προχέειν Harl. Mosc. 2. — 368 post πολλὰ 2. man. add. τε in L. — 370 ἐξάλλων D. — 371 τρῴεϲϲιν L. — 372 ἐγὼ E. ἀποπαύομαι L Lips. — 373 ἐπι C Syr. ἐπὶ τοῦτο ὀμοῦμαι L. ἐπὶ τόδ' ὀμοῦμαι Lips. — 374 ΕΠΙ Syr. τρῴεϲϲιν L. ἦμαρ D. — 375 μὴ δ' ACDGHL. ὁπότ' ἂν ADH. ὁπόταν CEGL Syr. τροίηι D. — 376 καιομένη ADEGHLS Syr. δαιομένη C Ven. B. Harl. Mosc. 2. καίωϲι ADEGHLS Syr. δαίωϲι Ven. B. Harl. Mosc. 2. δαίουϲι C, conf. Υ 317. — 378 ἄρ ADGHL. — 380 ὧδε omitt. C. ϲτυφελίξειν HS Cant. Vrat. d. A.

---

A. c. 363 κνίϲην: οὕτωϲ ἀρίϲταρχοϲ· ἄλλοι δὲ κνίϲηϲ Didymus. Ἑρμογένηϲ ἐν τῷ περὶ τῶν προβλημάτων γράφει κνίϲῃ μελδόμενοϲ (μελδομένου V) Schol. BV.

ὣς ἔφαθ᾽, Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ,
ἄψορρον δ᾽ ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἳ μὲν ἔπειτα
παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
ἐν δ᾽ ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
σὺν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ εὐρεῖα χθών,
ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός. ἄιε δὲ Ζεὺς
ἥμενος Οὐλύμπῳ· ἐγέλασσε δέ οἱ φίλον ἦτορ
γηθοσύνῃ, ὅθ᾽ ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
ἔνθ᾽ οἵ γ᾽ οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε
χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·
τίπτ᾽ αὖτ᾽ ὦ κυνάμυια θεοὺς ἔριθι ξυνελαύνεις
θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ οὐ μέμνῃ ὅτε Τυδείδην Διομήδε᾽ ἀνῆκας
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;
τῷ σ᾽ αὖ νῦν ὀίω ἀποτισέμεν, ὅσσά μ᾽ ἔοργας.
ὣς εἰπὼν οὔτησε κατ᾽ αἰγίδα θυσσανόεσσαν

V. l. 381 ὥς A. — 383 post ΑΥΤΑΡ est lacuna in Syr. οἳ μὲν C. — 385 ἒν A. πέσεν D. — 386 δέ σφισιν CG Flor. ἐνι AD. — 387 συν D. ΔΕΠΕΣΟΝ Syr. conf. Η 256. πατάγῳ ACH Syr. Barocc. Mor. Vrat. b. A. ὁμάδῳ DGLS Lips. Ven. B. Eust. 1195, 56. γρ. ὁμάδω A. πατάγῳ ἢ ὁμάδῳ Eust. 1242, 16, — 388 ἀμφι C Syr. δὲ σάλπιγξεν ACDGHS Apoll. Soph. 16, 1. ΔΕΣΑΛΠΙΓΞΕΝ Syr. δ᾽ ἐσάλπιγξεν L Vrat. A. Rom. Rhet. Gr. I, 254, 19. II, 361, 8. δ᾽ ἐσάλπιγξε Eust. 1195, 56. 1242, 17. Tzetzes Alleg. 152. οὐρανὸς οὔλυμπός τε Rhet. Gr. I, 254, 19. — 390 ὁρᾶιτο A. ὁρῶτο G. ὁρῷτο Flor. Vrat. b. 1. man. — 391 οὗτοι pro οἵ γ᾽ C. ἦρχε δὲ Vrat. A. — 392 ῥηνοτόρος L. ἐπόρουσε CDEG Syr. Tzetz. Alleg. 156. — 393 ΟΝΙΔΕΙΟΝ Ambros. ὀνείδιον EHS Syr. Mor. Vrat. d. φᾶτο D. — 394 αὖτ᾽: αὖ CGH Ven. B. Tzetzes Alleg. 158. ὦ omitt. H Rom. κυνάμυια ἢ κατά τινας κυνόμυια E. ἕτεροι δὲ διὰ τοῦ ῑ γράφουσι (κινάμυια) Eust. 1243, 25. θεοὺς: θεὰ L. — 395 ἀνῆκε H. ΘΥΜΟΣΑΝΩΓΕΙ Syr. — 396 ἢ οὐ CDEG. ΜΕΜΝΗ Ambros. — 397 δὲ omitt. L. πανόψιον A. — 398 ὥσας C. δια D. — 399 τῶ ACDGHL. ΤΩ Ambros. τῷ E. οἴω CD. ἀποτινὲμεν Vrat. b. ὅσσά μ᾽ AL. ΟΣΣΑΕΟΡΓΑΣ Ambros. addito μ᾽ man. rec. — 400 ὥς A. οὔτισε D. αἰγίδα GH. ΚΑΤΑΙΓΙΔΑ Ambros. ἀσπίδα CDELS Tzetzes Alleg. 164. κατασπίδα A. γρ. κατ᾽ αἰγίδα AS. κατ᾽ αἰγίδα τινὲς γράφουσιν Eust. 1243, 50. θυσανόεσσαν Tzetzes Alleg. 164.

A. c. 390 ὅθ᾽: ὅ θ᾽? conf. θ 78. λ 540. ὁρᾶτο, conf. Α 56. 198. — 397 οὕτως ἀρίσταρχος πανόψιον Didymus. Antimachus ὑπονόσφιον teste Schol. B. conf. Eust. 1243, 40.

ϲμερδαλέην, ἣν οὐδὲ Διὸϲ δάμνηϲι κεραυνόϲ·
τῇ μιν Ἄρηϲ οὔτηϲε μιαιφόνοϲ ἔγχεϊ μακρῷ.
ἣ δ᾽ ἀναχαϲϲαμένη λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε,
τόν ῥ᾽ ἄνδρεϲ πρότεροι θέϲαν ἔμμεναι οὖρον ἀρούρηϲ·
τῷ βάλε θοῦρον Ἄρηα κατ᾽ αὐχένα, λῦϲε δὲ γυῖα.
ἑπτὰ δ᾽ ἐπέϲχε πέλεθρα πεϲών, ἐκόνιϲε δὲ χαίταϲ,
τεύχεά τ᾽ ἀμφαράβηϲε· γέλαϲϲε δὲ Παλλὰϲ Ἀθήνη,
καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προϲηύδα·
νηπύτι᾽, οὐδέ νύ πώ περ ἐπεφράϲω, ὅϲϲον ἀρείων
εὔχομ᾽ ἐγὼν ἔμεναι, ὅτι μοι μένοϲ ἰϲοφαρίζειϲ.
οὕτω κεν τῆϲ μητρὸϲ ἐρινύαϲ ἐξαποτίνοιϲ,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ᾽ Ἀχαιοὺϲ
κάλλιπεϲ, αὐτὰρ Τρωϲὶν ὑπερφιάλοιϲιν ἀμύνειϲ.
ὣϲ ἄρα φωνήϲαϲα πάλιν τρέπεν ὄϲϲε φαεινώ.
τὸν δ᾽ ἄγε χειρὸϲ ἑλοῦϲα Διὸϲ θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα ϲτενάχοντα· μόγιϲ δ᾽ ἐϲαγείρετο θυμόν.
τὴν δ᾽ ὡϲ οὖν ἐνόηϲε θεὰ λευκώλενοϲ Ἥρη,
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προϲηύδα·
ὢ πόποι, αἰγιόχοιο Διὸϲ τέκοϲ, ἀτρυτώνη,
καὶ δὴ αὖθ᾽.ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα

---

V. ι. 401 τὴν Vrat. A. Schol. O 229. δάμνηιϲι A Ambr. D. δάμνῃϲι
ε η
E: ceteri δάμνηϲι. — 402 μιν A. οὗταϲε C. — 403 ἥδ᾽ CGHL. χειρὶ παχείῃ: ΠΑΛΛΑϹΑΘΗΝΗ Ambr. ἐν ἄλλῳ παλλὰϲ ἀθήνη A. — 405 τὸν δ᾽ Apoll. Soph. 125, 4. ΡΑΝΔΡΕϹ Ambr. πρότερον Apoll. Soph. 125, 4. Tzetzes Alleg. 169. — 406 καταυχένα Ambr. H. λῆϲε G. — 407 μέλαθρα Lips.
πελε
μέλαθρα L. ἐπέλεθρα G. ἐκόνιϲε ADE bis HL Mosc. 2. Flor. Heracl. Alleg. cap. 52. ἐκόνιϲϲε CGS. ЄΚΟΝЄΙϹЄ Ambr. — 408 ΔΑΜΦΑΡΑΒΗϹΕ Ambr. ἀμφ᾽ ἀράβηϲε AC. — 409 καί μιν A Mor. Vrat A. γρ καί οἱ A. — 410 νυ D. πω CG. ἀρείον G. — 411 ἰϲοφαρίζειϲ A Barocc. Mor. Harl. Vrat. b. A. Mosc. 2. ἰϲοφαρίζει Cram. An. Ox. I, 329, 24. ἀντιφερίζειϲ CDGLS. ἀντιφερίζει H. ἰϲοφαρίζειϲ ἢ ἀντιφερίζειϲ E. ἐν ἄλλῳ ἀντιφαρίζειϲ (sic) A. — 412 ἐρινύαϲ ACDH Townl. Vrat. A. Flor.: ἐριννύαϲ EGL Lips. ἐξαποτίϲοιϲ E. — 414 τρῳϲὶν L. ἀμύνειϲ: γρ. καὶ ἀρήγειϲ A, ita Harl. Vrat. b. A. Mosc. 2. — 415 ὡϲ A. τράπεν CGHS edd. vett. τρέπεν ADEL Lips. Harl. Mor. Vrat. A. — 416 γρ. φιλομμειδὴϲ ἀφροδίτη A, ita Harl. Vrat. b. A. Mosc. 2. — 417 μόγιϲ: μόλιϲ H. ἐϲαγείρετο A Townl.: ἐϲαγείρατο CE bis GHLS Lips. Ven. B. Schol. A 593. Tzetzes Alleg. 244. ἐϲ ἀγείρατο D. — 420 ὦ AD. — 421 δή: libri δ᾽. δ᾽ αὖ Schol. B 381. κυνόμυια L Lips. conf. 394. γρ. τὴν κυναμυιαν A.

---

A. c. 401 δάμνῃϲι Aristarchus? conf. ad Є 746. H. T. 221

δηίου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
ὣς φάτ᾽, Ἀθηναίη δὲ μετέςςυτο, χαῖρε δὲ θυμῷ,
καί ῥ᾽ ἐπιειςαμένη πρὸς ςτήθεα χειρὶ παχείῃ
ἤλαςε· τῆς δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τὼ μὲν ἄρ᾽ ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,
ἣ δ᾽ ἄρ᾽ ἐπευχομένη ἔπεα πτερόεντ᾽ ἀγόρευε·
τοιοῦτοι νῦν πάντες, ὅςοι Τρώεςςιν ἀρωγοί,
εἶεν, ὅτ᾽ Ἀργείοιςι μαχοίατο θωρηκτῇςιν,
ὧδέ τε θαρςαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρῃ ἐπίκουρος, ἐμῷ μένει ἀντιόωςα·
τῶ κεν δὴ πάλαι ἄμμες ἐπαυςάμεθα πτολέμοιο
Ἰλίου ἐκπέρςαντες ἐυκτίμενον πτολίεθρον.
[ὣς φάτο, μείδηςεν δὲ θεὰ λευκώλενος Ἥρη.]
αὐτὰρ Ἀπόλλωνα προςέφη κρείων ἐνοςίχθων·
Φοῖβε, τί ἢ δὴ νῶι διέςταμεν; οὐδὲ ἔοικεν
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴςχιον, αἴ κ᾽ ἀμαχητὶ
ἴομεν Οὔλυμπον δὲ Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· cὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἐμοί γε
καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι᾽, ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
μέμνηαι, ὅςα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ

---

V. L. 422 κατα D. μετέλθε G. — 423 ὡς A. ἔφατ᾽ H. — 425 τῆδ᾽ H, add. c 2. man. τὴν δ᾽ Vrat. b. — 426 ἂρ DEGHL. κεῖτο C. ἐπὶ EG Barocc. Harl. Vrat. b. A. Mosc. 2. Heracl. Alleg. c. 54. ἐπι A: ποτὶ CHLS Lips. Ven. B. ποτι D. γρ. ποτιχθονὶ A. πολῦβοτείρῃ H. — 427 ἣδ᾽ CGHL. ἂρ ADG. ἀγόρευε CG: ceteri ἀγόρευεν. γρ. πτερόεντα προςηύδα A, ita Lips. Vrat. b. A. Mosc. 2. — 428 τρῴεςςιν L. — 429 omitt. Vrat. b. 1. man. θωρηκτοῖςιν S Mor. Barocc. edd. vett. — 430 ὧιδέ A. ὁδέ τε H. — 431 ἄρηι A Harl. Townl. Mosc 2. ἄρηϊ S. ἄρῃ H Schol. H 453. ἄρη DL Vrat. b. d. ἄρη᾽ Lips. ἄρηα G, conf. 112. ἄρει C. ἐν ἄλλῳ ἦλθεν ἐπίουρος A. — 432 τῶ ACDGHL. τῷ E. κε G Flor. ἐπαύμεθα πολέμοιο E. πολέμοιο Lips. Flor. Rom. — 433 γρ. ἴλιον A, ita L. εὐκτῖμενον H. — 434 omitt. ACDH in textu Ven. B. Harl. Vrat. b. d. Mosc. 2. habent GH in marg. LS Lips. Cant. Townl. ὣς ἔφαθ᾽ ἡ δ᾽ ἐγέλαςε HS. ὣς ἔφαθ᾽ ἠδ᾽ ἐγέλαςςε Cant. Townl. μείδηςε G. μήδηςε Flor. Rom. — 436 τί ἡ A. τίη D, gravi supra ῆ eraso. ceteri τίη. δὴ omitt. L. γρ. ἀφέςταμεν Vrat. b. — 438 οὔλυμπον δὲ AD. ποτι AD. — 439 γενεῆφι CEH. ἔμοιγε libri. — 440 πρῶτος Townl. — 441 ἔςχες G Flor. — 442 κακὰ πάθομεν C Ven. B. ἀμφι D. ἀμφὶς Cant. Townl.

---

A. c. 433 Ἴλιον Aristarchea lectio videtur, conf. Schol. B 133. — 442 οὕτως ἐνταῦθα μέμνηαι, διπλῆ γὰρ ἡ χρῆςις Didymus, conf. μέμνηςαι Ψ 648. ceteris locis μέμνῃ legitur O 18. Υ 188. Φ 396. ω 115, vide Didym. ad O 18.

μοῦνοι νῶι θεῶν, ὅτ᾽ ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
μισθῷ ἔπι ῥητῷ· ὁ δὲ σημαίνων ἐπέτελλεν.
ἤ τοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλόν, ἵν᾽ ἄῤῥηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ᾽ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑλήεσσης.
ἀλλ᾽ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι
ἐξέφερον, τότε νῶι βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ᾽ ἀπέπεμπε.
σὺν μὲν ὅ γ᾽ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
στεῦτο δ᾽ ὅ γ᾽ ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ.
νῶι δέ τ᾽ ἄψοῤῥοι κίομεν κεκοτηότι θυμῷ,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ᾽ ἡμέων
πειρᾷ ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι.

---

V. l. 443 μοῦνοι νῦν G. νῶι omitt. C. — 444 παρ D. — 445 ἐπι A. ἐπὶ CEGL. ἐπιρρητῶι D. ἐπϊῤῥητῷ H. ἐπιῤῥητῷ Townl. ἐπί ῥ᾽ ῥητῷ Cant. ἐπιρητῷ Vrat. d. ὃ δὲ C. — 446 τρώεσσι L. πόλει H Vrat. d. πόλιν καὶ E Rom. περι AH. περὶ CDL Vrat. b. A. Mosc. 2. Ven. B. Flor. πέρι GS Cant. Mor. Harl. Flor. — 448 εἰλίποδας L. βουκόλεες H. βουκολέεσκε D. — 450 πολυγηθέος Vrat. b. τινὲς δὲ πολυγηθέος γράφουσιν Eust. 1246, 8. — 451 τῶτε A. ἐβιάσατο E 1245, 32. 1246, 15; sed 1246, 17 βιήσατο. — 452 ἀπέπεμπε ACDEGHL: ἀπέπεμψεν Vrat. b. A. — 453 σὺν μὲν AC 1. man. L Lips. Harl. Townl. Mosc. 2. Ven, B. σὺ||| μὲν D post ras. σοὶ μὲν EGHS Vrat. b. edd. vett. ὅδ᾽ Vrat. b. ὕπερθε ACEG: ceteri ὕπερθεν. — 454 νήσω H. ἐπι ADH. ἐπὶ CEGL Tzetzes Alleg. 309. θηλυτεράων Et. Mg. 451, 6. — 455 ἀποκόψειν A Barocc. ἀποκοψέμεν CDGHS et Heynii libri. Tzetzes Alleg. 310. ἀπολεψέμεν L Lips. ἀποκοψέμεν ἢ ἀπολεψέμεν Eust. 1245, 38. γρ. ἀπολεψέμεν οὔατα A. τὸ δὲ ἀποκοψέμεν τινὲς ἀπολεψέμεν γράφουσιν Eust. 1246, 26. τινὲς ἀπολεψέμεν ἔγραψαν· ἄλλοι δὲ ἀπολουσέμεν, ἤτοι κολοβώσειν Eust. 1246, 37. — 456 νῶϊ δ᾽ ἄψοῤῥοι DL. νῶϊ δὲ ἄψορροι Lips. καὶ κοτϊότϊ H. — 457 ἐτέλεσσε ACDG. ἐτέλεσε E bis. Tzetzes Alleg. 312. — 459 πειρᾷς L Lips. Harl. Vrat. b. A. κεν ACDEGH, conf. Δ 66. 71. 95. Κ 282. τρῷες L. ἀπώλονται H. — 460 ἀλόχοισι ACDEGH.

---

A c. 446 γρ. πόλει, ὡς ἀριστοφάνης Didymus. περὶ Herodianus. — 454 οὕτως ἀρίσταρχος τηλεδαπάων· αἱ ἀπὸ τῶν πόλεων θηλυτεράων Didymus. — 455 ὅτι καταχρηστικῶς ἀπολεψέμεν ἀντὶ τοῦ ἀποκόψειν Aristonicus. Aristarchus igitur ἀπολεψέμεν scripsit et interpretatus est ἀποκόψειν. ex hac interpretatione ortae sunt scripturae ἀποκόψειν et ἀποκοψέμεν, quod non raro factum esse docent exempla, quae attuli in Proleg. ad Hom. Odyss. XXVII.

τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
ἐννοσίγαι', οὐκ ἄν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἳ δ' αὐτοὶ δηριαάσθων.
ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν,
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
φεύγεις δή, ἑκάεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας.
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.
ὣς φάτο, τὴν δ' οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις
[νείκεσεν ἰοχέαιραν ὀνειδείοις ἐπέεσσι]·
πῶς δὲ σὺ νῦν μέμονας κύον ἀδδεὲς ἀντί' ἐμεῖο

---

V. L. 461 ἄναξ διὸς υἱὸς ἀπόλλων C Ven. B. — 463 δή σοι C omisso γε. πτολεμίξω ADEHS Cant. Townl. πολεμίξω Barocc. Vrat. d. Flor. πολεμίζω G. de εἰ δή cum ind. fut. iuncto conf. Α 61. 294. Ν 375. Ω 57. φ 170. ω 434; de futuro πολεμίξω Β 328. Κ 451. Ν 644. Ο 179. Ω 667. — 466 δὲ ACL Syr. Lips. Ven. B. Mor. Stob. Floril. 98, 52. δ' αὖ DEGHS. γρ. ἀλλ$^{\times}$ ὅτε δ' αὖ A. ἀκήριοι οὐδέ τις ἀλκή Plutarchus Consol. ad Apoll. 6. Stob Floril. l. l. τάχιστα omitt. H. — 467 παυσώμεσθα AGL Syr. Ven. B. Rom. παυσώμεθα E Vrat. d. παυώμεσθα CD Cant. Lips. Mor. Townl. Vrat. A. παυόμεθα Flor. παυώμεθα H. οἳ δ' H. οἴδ' CGL. — 468 ὡς A. γὰρ ῥὰ L. — 469 παλάμῃσι ACDG Syr. παλάμῃ H. — 471 ἄρτεμις ἰοχέαιρα Vrat. b. ΟΝΕΙΔΙΟΝ Syr. idem E. conf. 393. — 472 ποσιδάωνι A Syr. ποσειδ A in marg. — 473 δέ οἱ καῦχος L. — 474 αὔτως EGH. αὔτως A. ΑΥΤΩΣ Syr. — 475 ἐνι AD. — 476 τοπρὶν L. θεοῖσι D. — 477 ποσιδάωνος AD. ποσειδ A in marg. πτολεμίξειν D. πολεμίξειν Flor. — 478 ὡς A. τηνδ' D. ΤὸΝΔ Syr. οὔτοι L. — 479 αἰδοίη: κυδρὴ E Rom. — 480 omitt. ACDEL Syr. Ven. B. Lips. Harl. Townl. Rom. habent GHS Vrat. b. d. A. Flor. νοίκεσεν G. ὀνειδίοις G Vrat. b. d. A. — 481 δὲ omitt. C. νῦν omitt. Syr. ἀντίον C.

---

A. C. 469 μιγήμεναι: τινὲς γράφουσι δαμήμεναι Schol. V. — 471 ἀθετεῖται ὅτι περισσός Aristonicus. ὀνείδειον, ὡς τέλειον καὶ ὄρειον Schol. AV. — 475—477 ἀθετοῦνται στίχοι τρεῖς Aristonicus. — 480 aberat ab editione Aristarchi teste Aristonico ad vs. 479.

στήϲεϲθαι; χαλεπή τοι ἐγὼ μένοϲ ἀντιφέρεϲθαι
τοξοφόρῳ περ ἐούϲῃ, ἐπεί ϲε λέοντα γυναιξὶ
Ζεὺϲ θῆκεν, καὶ ἔδωκε κατακτάμεν, ἥν κ᾽ ἐθέληϲθα.
ἦ τοι βέλτερόν ἐϲτι κατ᾽ οὔρεα θῆραϲ ἐναίρειν
ἀγροτέραϲ τ᾽ ἐλάφουϲ ἢ κρείϲϲοϲιν ἶφι μάχεϲθαι.
εἰ δ᾽ ἐθέλειϲ, πολέμοιο δαήμεναι, ὄφρ᾽ ἐὺ εἰδῇϲ,
ὅϲϲον φερτέρη εἴμ᾽, ὅτι μοι μένοϲ ἀντιφερίζειϲ.
    ἦ ῥα, καὶ ἀμφοτέραϲ ἐπὶ καρπῷ χεῖραϲ ἔμαρπτε
ϲκαιῇ, δεξιτερῇ δ᾽ ἄρ᾽ ἀπ᾽ ὤμων αἴνυτο τόξα,
αὐτοῖϲιν δ᾽ ἄρ᾽ ἔθεινε παρ᾽ οὔατα μειδιόωϲα
ἐντροπαλιζομένην· ταχέεϲ δ᾽ ἔκπιπτον ὀιϲτοί.
δακρυόεϲϲα δ᾽ ὕπαιθα θεὰ φύγεν ὥϲ τε πέλεια,
ἥ ῥά θ᾽ ὑπ᾽ ἴρηκοϲ κοίλην εἰϲέπτατο πέτρην,
χηραμόν· οὐδ᾽ ἄρα τῇ γε ἁλώμεναι αἴϲιμον ἦεν·
ὣϲ ἣ δακρυόεϲϲα φύγεν, λίπε δ᾽ αὐτόθι τόξα.
Λητὼ δὲ προϲέειπε διάκτοροϲ ἀργεϊφόντηϲ·
    Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήϲομαι· ἀργαλέον δὲ
πληκτίζεϲθ᾽ ἀλόχοιϲι Διὸϲ νεφεληγερέταο·
ἀλλὰ μάλα πρόφραϲϲα μετ᾽ ἀθανάτοιϲι θεοῖϲιν
εὔχεϲθαι ἐμὲ νικῆϲαι κρατερῆφι βίηφιν.
    ὣϲ ἄρ᾽ ἔφη, Λητὼ δὲ ϲυναίνυτο καμπύλα τόξα

---

V. l. 482 ϲτήϲαϲθαι Eust. 1248, 10, sed 1247, 42 ϲτήϲεϲθαι. ἀντιφερίζειν Vrat. b. d. A. Eust. 1248, 10. ἀντιφέρεϲθαι ἢ ἀντιφερίζειν 1247, 44. — 483 γυναιξὶ ACDEGL Syr. — 484 θῆκε C Flor. Rom. ἔδω H. ἔδωκεν D. κατακτάμεν᾽ E. ἥν κ᾽ ἐθέληϲθα Harl. ΚΕΘΕΛΗϹΘΑ Syr. — 485 ἤτοι libri. βέλτερον ἐϲτὶ L. — 486 ἢ κρεῖϲϲον D. — 487 δὲ θέλειϲ E 1247, 58; sed 1248, 25 et 27 δ᾽ ἐθέλειϲ. ἐθέλειϲ. πολέμοιο A. ἐθέλειϲ, πολέμοιο Ven. B. — 488 φέρτεροϲ Vrat. A. εἶμ᾽ A. εἶμ᾽ DL. ΟΤΙΜΕΝΟϹΜΟΙ Syr. — 489 ἦ ῥὰ CDGL. ἐπι D. ἔμαρπτε ACDEG Syr. — 490 ἆρ ADEGHL. — 491 αὐτοῖϲι EG Flor. Rom. ἆρ ADEGHL. παρούατα D. — 492 ἐντροπαλιζομένη S Syr. Cant. Harl. Townl. Mosc. 2. ταχέωϲ E. — 493 ἀκρυόεϲϲα δ᾽ ἔπειτα A in marg. ἔπειτα E. — 495 ἁλώμεναι L. αλώμεναι A. — 496 ἣ ACDGHL. λίπεν δ᾽ H. λίπεν αὐτόθι D. — 498 δέ τι Bekk. Anecd. 1246. μαχέϲϲομαι Harl. Mosc. 2. μαχέϲομαι Bekk. An. 1246. ἀργαλέον γὰρ A Mor. Vrat. A. Schol. Φ 468. ΓΑΡ᾽ Syr. γρ. ἀργαλέον δὲ A. — 500 πρόφραϲα L Lips. Flor. μεταθανάτοιϲϊ H. — 501 νικήϲειν C Ven. B. κρατερῆφι CEH. βίηφι ADL. βίηφι CEH Syr. βήηφι G. — 502 ώϲ A. ἆρ DGL. λητῶ G. ϲυναίνοιτο C. ἐξαίνυτο Et. Mg. 36, 40. Et. Gud. 18, 49.

---

A. c. 487 ἐθέλειϲ, πολέμοιο δαήμεναι Aristarchus, conf. Ariston. ὅτι ἀντὶ τοῦ δάηθι προϲτακτικοῦ et Nicanorem, vide Υ 213. — 492 οὕτω τὸ ἐντροπαλιζομένην διὰ τοῦ ν̄ Didymus.

πεπτεῶτ᾽ ἄλλυδις ἄλλα μετὰ ϲτροφάλιγγι κονίηϲ.
ἣ μὲν τόξα λαβοῦϲα πάλιν κίε θυγατέροϲ ἧϲ·
ἣ δ᾽ ἄρ᾽ Ὄλυμπον ἵκανε Διὸϲ ποτὶ χαλκοβατὲϲ δῶ,
δακρυόεϲϲα δὲ πατρὸϲ ἐφέζετο γούναϲι κούρη,
ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόϲιοϲ ἑανὸϲ τρέμε· τὴν δὲ προτὶ οἷ
εἷλε πατὴρ Κρονίδηϲ, καὶ ἀνείρετο ἡδὺ γελάϲϲαϲ·
τίϲ νύ ϲε τοιάδ᾽ ἔρεξε φίλον τέκοϲ Οὐρανιώνων
[μαψιδίωϲ, ὡϲ εἴ τι κακὸν ῥέζουϲαν ἐνωπῇ];
τὸν δ᾽ αὖτε προϲέειπεν ἐυϲτέφανοϲ κελαδεινή·
ϲή μ᾽ ἄλοχοϲ ϲτυφέλιξε πάτερ, λευκώλενοϲ Ἥρη,
ἐξ ἧϲ ἀθανάτοιϲιν ἔριϲ καὶ νεῖκοϲ ἐφῆπται.
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον.
αὐτὰρ Ἀπόλλων Φοῖβοϲ ἐδύϲετο Ἴλιον ἱρήν·
μέμβλετο γάρ οἱ τεῖχοϲ ἐυδμήτοιο πόληοϲ,
μὴ Δαναοὶ πέρϲειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
οἱ δ᾽ ἄλλοι πρὸϲ Ὄλυμπον ἴϲαν θεοὶ αἰὲν ἐόντεϲ,
οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιόωντεϲ·
κὰδ δ᾽ ἵζον παρὰ πατρὶ κελαινεφεῖ. αὐτὰρ Ἀχιλλεὺϲ
Τρῶαϲ ὁμῶϲ αὐτούϲ τ᾽ ὄλεκεν καὶ μώνυχαϲ ἵππουϲ.
ὡϲ δ᾽ ὅτε καπνὸϲ ἰὼν εἰϲ οὐρανὸν εὐρὺν ἵκηται

---

V. L. 503 πεπτῶτ᾽ L Lips. Vrat. A. γρ. καὶ πεπτῶτα A. πεπτεότ᾽ CS. πεπτεότα E. πεπταῶτ᾽ Mosc. 2. πεπτηῶτ᾽ Vrat. b. πεπτεῶτ᾽ AD GHS Syr. Harl. μετὰ: ἐν E. μετα CL. — 504 ἣ μὲν C. ἧε pro ἧϲ L. — 505 ἤδ᾽ CGHL. ἂρ ADGHL. οὔλυμπον C Syr. — 507 ἀμφι AD. ἂρ DE GHL. προτὶ οἷ libri omnes, conf. ω 347, ubi libri meliores in hac scriptura consentiunt. mallem ποτί, conf. H. U. 255. — 508 ἀνήρετο CEGL: ceteri ἀνείρετο cum Harl. Cant. Vrat. b. d. A. γελάϲαϲ E Flor. Rom. — 510 omitt. ACD in textu EHL Syr. Lips. Harl. Vrat. b. d. Mosc. 2. Ven. B. habent D in marg. man. rec. G Townl. Vrat. A. ὡϲ εἴ τι G Townl. ἐνωπὶ Vrat. A. — 511 εὐϲτέφανοϲ DH. — 513 εξῆϲ D. — 514 ὧϲ AD 1. man. οἳ μὲν C. — 515 ἐδύϲϲετο C. δύϲϲετο S. — 516 εὐδμήτοιο H. — 517 ὑπερμόρον AD Lips. ὑπέρμορον S Cant. Mor. ΥΠΕΡΜΟΡΟΝ Syr. ἥματι D. — 519 οἳ δὲ C. — 520 καδδ᾽ ACDGH Syr. κὰδδ᾽ L. ἵζον CH Lips. Ven. B. ἴζον D. παρ A. Ζηνὶ A Mor. παρὰ πατρὶ CD GHLS Syr. ὅτι παρα πατρὶ A in marg. ἀχἰλεὺϲ C. — 521 τρῷαϲ L. θ᾽ ὁμῶϲ C. αὐτόϲ τ᾽ Vrat. b. — 522 ἱκάνει ACDEGHLS Syr. et Heynii libri. γρ. ἵκηται A. conf. C 207, ubi omnes libri ἵκηται habent, quod etiam Aristarchus scripsit.

---

A. c. 503 πεπτεῶτ᾽: conf. πεπτεῶταϲ χ 384. ἑϲτεῶθ᾽ ψ 46. ἑϲτεῶτ᾽ ω 204. — 513 πληθυντικῶϲ νείκεα αἱ ἀριϲτάρχου Didymus. — 517 ὑπὲρ μόρον, conf. H. T. 370. — 520 haud scio an παρὰ πατρὶ genuina sit lectio et Ζηνὶ glossema.

ἄϲτεοϲ αἰθομένοιο, θεῶν δέ ἑ μῆνιϲ ἀνῆκε,
πᾶϲι δ' ἔθηκε πόνον, πολλοῖϲι δὲ κήδε' ἐφῆκεν,
ὣϲ Ἀχιλεὺϲ Τρώεϲϲι πόνον καὶ κήδε' ἔθηκεν.
ἑϲτήκει δ' ὁ γέρων Πρίαμοϲ θείου ἐπὶ πύργου,
ἐϲ δ' ἐνόηϲ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶεϲ ἄφαρ κλονέοντο πεφυζότεϲ, οὐδέ τιϲ ἀλκὴ
γίγνεθ'· ὃ δ' οἰμώξαϲ ἀπὸ πύργου βαῖνε χαμᾶζε,
ὀτρύνων παρὰ τεῖχοϲ ἀγακλειτοὺϲ πυλαωρούϲ·
πεπταμέναϲ ἐν χερϲὶ πύλαϲ ἔχετ', εἰϲ ὅ κε λαοὶ
ἔλθωϲι προτὶ ἄϲτυ πεφυζότεϲ· ἦ γὰρ Ἀχιλλεὺϲ
ἐγγὺϲ ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔϲεϲθαι.
αὐτὰρ ἐπεί κ' ἐϲ τεῖχοϲ ἀναπνεύϲωϲιν ἀλέντεϲ,
αὖτιϲ ἐπανθέμεναι ϲανίδαϲ πυκινῶϲ ἀραρυίαϲ·
δείδια γὰρ μὴ οὖλοϲ ἀνὴρ ἐϲ τεῖχοϲ ἅληται.
ὣϲ ἔφαθ', οἳ δ' ἄνεϲάν τε πύλαϲ καὶ ἀπῶϲαν ὀχῆαϲ·
αἳ δὲ πεταϲθεῖϲαι τεῦξαν φάοϲ. αὐτὰρ Ἀπόλλων
ἀντίοϲ ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
οἳ δ' ἰθὺϲ πόλιοϲ καὶ τείχεοϲ ὑψηλοῖο
δίψῃ καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο,

---

V. l. 523 θεοῦ E. ἀνῆκε ACEG Syr. — 524 omitt. L. πᾶϲϊν C. δὲ θῆκε Lips. ἐφῆκε G. ЄΦΗΚЄ Syr. — 525 post 526 collocatus in Syr. omitt. Townl. 1. man. ἀχιλλεὺϲ EH Lips. τρῴεϲϲι L. πόνον: φόνον A Harl. Mor. πολύϲτονα κήδεα θῆκεν L Lips. κήδε' ἔφηκεν (sic) H. γρ. ἔτευξεν A. — 526 εἱϲτήκει CDEGHL. ΙϹΤΗΚЄΙ Syr. conf. Μ 446. Χ 36. ἑϲτήκει soli A Vrat. A. ἐπι D. — 528 τρῷεϲ L. δ' ἄφαρ C. — 529 γίγνεθ' L: γίνεθ' ACDGH Syr. γίνεται E. ὃ δ' D. ὅδ' CGHL. χαμᾶζε ADEG: χαμάζε CHL. ΧΑΜΑΖЄ Syr. — 530 ὀτρύνων AD: ὀτρυνέων CEGHLS Syr. παρα A. ἀγακλυτοὺϲ L. — 531 εἰϲ ὅ κε A: ceteri εἰϲόκε cum Schol. Μ 122. — 532 ἔλθωϲι libri: ἔλθωϲιν Schol. Μ 122. προτιάϲτυ AD. ΓΑΡ' Syr. ἀχϊλεὺϲ C. — 533 ὧδε D. ὅδὲ G. κλονέει C Ven. B. Vrat. A. ὀΐω G. ὀΐω ἤ οἴω E. — 534 εἰϲ E. ἀλέντεϲ GL Flor. Schol. Μ 122. αλέντεϲ A. — 535 αὖθϊϲ C. ἒπ' ἀψ A. ἐπ' ἄψ CDEG. ἐπάψ HLS. ЄΠΑΨ' Syr. et θέμεναι omnes. ἐν ἄλλῳ ἐπανθέμεναι A. ἐπιθέμεναι Schol. Μ 122. — 536 ἄληται AC, ἀληται D. ceteri ἅληται. — 537 ὡϲ A. οἵδ' CGHL. — 538 αἳ δὲ C. — 539 ὣϲ pro ἀντίοϲ H. τρῴων L.
οι η
ἀλάλκη L. ἀμύναι CS Cant. Townl. Vrat. d. Ven. B. ἀμύναι H. ἐν ἄλλῳ λοιγὸν ἀμύναι A. — 540 οἳ δ' D. οἵδ' CH. εὐθὺϲ H. πόληοϲ D. — 541 δίψει Barocc. Vrat. A. καρφαλέοι G Vrat. A. Flor. Rom. ΚЄΚΟΝΙΜΜЄΝΟΙ Syr. κεκονημένοι C.

---

A. c. 530 οὕτωϲ ἀρίϲταρχοϲ ἔξω τοῦ ε̄ ὀτρύνων· ἄλλοι δὲ ὀτρυνέων Didymus. — 535 οὕτωϲ Ἀρίϲταρχοϲ ἐπανθέμεναι διὰ τοῦ ν̄, οἷον ἀναθεῖναι. τινὲϲ δὲ τῶν κατὰ πόλειϲ ἐπ' ἄψ θέμεναι Didymus. — 536 ψιλῶϲ τὸ ἄληται Schol. B, conf. Λ 192. — 538 ὅτι Ζηνόδοτοϲ τοὺϲ [β'] ϲτίχουϲ (538, 539) ἠθέτηκε Aristonicus.

φεῦγον· ὃ δὲ cφεδανὸν ἔφεπ' ἔγχεϊ· λύcca δέ οἱ κῆρ
αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδοc ἀρέcθαι.
ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷεc Ἀχαιῶν,
εἰ μὴ Ἀπόλλων Φοῖβοc Ἀγήνορα δῖον ἀνῆκε,
φῶτ' Ἀντήνοροc υἱὸν ἀμύμονά τε κρατερόν τε.
ἐν μέν οἱ κραδίῃ θάρcoc βάλε, πὰρ δέ οἱ αὐτὸc
ἔcτη, ὅπωc θανάτοιο βαρείαc κῆραc ἀλάλκοι,
φηγῷ κεκλιμένοc· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.
αὐτὰρ ὅ γ' ὡc ἐνόηcεν Ἀχιλλῆα πτολίπορθον,
ἔcτη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·
ὀχθήcαc δ' ἄρα εἶπε πρὸc ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆοc
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέονται,
αἱρήcει με καὶ ὥc, καὶ ἀνάλκιδα δειροτομήcει.
εἰ δ' ἂν ἐγὼ τούτουc μὲν ὑποκλονέεcθαι ἐάcω
Πηλείδῃ Ἀχιλῆι, ποcὶν δ' ἀπὸ τείχεοc ἄλλῃ
φεύγω πρὸc πεδίον Ἰλήιον, ὄφρ' ἂν ἵκωμαι
Ἴδηc τε κνημοὺc κατά τε ῥωπήια δύω·
ἑcπέριοc δ' ἂν ἔπειτα λοεccάμενοc ποταμοῖο,
ἱδρῶ ἀποψυχθείc, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τί ἤ μοι ταῦτα φίλοc διελέξατο θυμόc;

---

V. l. 542 ὃ δὲ C. cφεδανῶν AL Syr. Townl. 1. man. Ven. B. cφεδανῶc C, ὸν suprascr. 2. man. ceteri cφεδανὸν. ἐπ' pro ἔφεπ' L. — 544 ἔνθά κεν ACDL. — 545 ἀνῆκε ACDGH Syr. — 547 ἓν A. θράcoc EH παρ D. — 548 κῆραc AE: χεῖραc CDGHLS Syr. — 548—550 omitt. Townl. 1. man. — 549 ἄρ ADGHL. — 550 ἀχιλῆα CG. Flor. Rom. — 551 πόρφυρε κιόντι Barocc. Schol. Λ 269, conf. δ 427. 572. κ 309. — 552 ἄρ L. προcὸν D. — 553 ὤιμοι AC. ᾤμοι E. ὕπο H. ἀπὸ G. — 554 τοίπερ οἱ C. κλονέονται AG Syr. Mor. Barocc.: φοβέονται CDHLS Ven. B. φοβέοντο Lips. γρ. φοβέονται A. φοβέονται ἢ κλονέονται E. — 555 ὦc D. ὡc A. ceteri ὥc. καὶ ὥc omitt. H. — 557 ποccὶ E. ποcὶ Flor. Rom. ἄπο AH. τύχεοc H. — 559 ἴδηc τὲ ACH. — 560 ἂν: ἂρ D. ἄρ' Vrat. A. — 561 ἱδρῶτα Cram. An. Ox. II, 425, 16. προτὶ AEHLS Syr. Ven. B. Lips. προτιίλιον D. ποτὶ CG Flor. — 562 τί ἡ A. ceteri τίη. τί E. θυμῶι D.

---

A. c. 542 οὕτω cφεδαν̀ (sic) Didymus. ὅτι cφεδανῶν cφοδρῶc διώκων Aristonicus. ἐπίῤῥημα ἀντὶ τοῦ cφεδανῶc. οἱ δὲ cφεδανῶν γράφουcιν, ἵν' ᾖ μετοχή Schol. B. Ἡρόδωροc καὶ Ἀπίων ἐκτείνουcι τὸ cφεδανῶν ὡc μετοχήν, λέγοντεc εἰλῆφθαι τὴν λέξιν ἀντὶ τοῦ cφοδρῶc διώκων Eust. 1250, 56. conf. H. T. 354. — 550 πτολίπορθον: τινὲc δὲ Ἀχιλλέα Πηλείωνα ποιοῦcι ξενιcθέντεc πρὸc τὸ ἐπίθετον Schol. AV. — 558 Ἰλήιον Aristarchus: Crates Ἰδήιον.

μή μ' ἀπαειρόμενον πόλιος πεδίον δὲ νοήςῃ,
καί με μεταΐξας μάρψῃ ταχέεςςι πόδεςςιν.
οὐκέτ' ἔπειτ' ἔςται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔςτ' ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατεναντίον ἔλθω·
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέι χαλκῷ,
ἐν δὲ ἴα ψυχή, θνητὸν δέ ἑ φας' ἄνθρωποι
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.
ὣς εἰπὼν Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δέ οἱ ἦτορ
ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεςθαι.
ἠύτε πάρδαλις εἶςι βαθείης ἐκ ξυλόχοιο
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούςῃ·
εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάςῃ ἠὲ βάλῃςιν,
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·

---

V. ι. 563 ἀπαειρόμενον (α supra ο) A. πόληος D. 1. man. πόλεωϲ E 1261, 9; sed 1251, 12 πόλιοϲ. πεδίον δὲ ADGH. ΠΕΔΙΟΝΔΈ Syr. — 564 μάρψει S. πόδεςςι D. — 565 οὐκ ἔτι G. ἔςεται Barocc. κῦρας H. — 566 κρατερῶϲ L. πέρι L. περϊ C. — 567 δέ κεν οἱ ACDE: ceteri δέ κέν οἱ. H εἰ δ' αὐτω. πόλιοϲ ACDEH Syr. Ven. B. Vrat. A. edd. vett. πόλεοϲ L. πόληοϲ G Lips. conf. B 811. κατ' ἐναντίον ES. κατεναντίοϲ L Lips. πεδίον δὲ νοήϲηι D et in marg. κατ' ἐναντί' ἔλθω. — 568 γὰρ δὴ E. γάρ τ' ἦν Schol. Δ 510. — 569 ἒν A. δέ ἑ φαϲ' CGH. δέ ἑ φαϲ' A. δέ ἑ φὰϲ D. δέ ἑ φάϲ' E. ΔΈ ΕΦΑϹ' Syr. — 571 ὡϲ A. ἀλεὶϲ G. ΑΛΙϹ Syr. ἩΤΟΡ' Syr. — 572 πολεμίζειν S Syr. Townl. Flor. — 573 πάρδαλιϲ GHL Lips. πόρδαλιϲ ACDES Syr. Harl. Townl. Vrat. d. A. Mosc. 2. Flor. Rom. — 576 κτάμενόϲ Vrat. b. ἢ omitt. Syr. οὐτάϲει C. — 577 ΟΥΚ' Syr.

---

A. c. 567 κεν ante οἱ libris invitis non mutavi, quamquam ceteris locis excepto Ψ 540 scriptura κε praevalet, conf. Ζ 281. Ι 155. 157. γ 258 (GINV κεν). δ 174. ι 458. δαΐέ οἱ Ε 4. — 569 de hiatu ἐν δὲ ἴα conf. Ι 319 ἐν δὲ ἰῇ (sed Λ 174 τῇ δέ τ' ἰῇ. Π 173 τῆϲ μὲν ἰῆϲ). Α 533 Ζεὺϲ δὲ ἑὸν (ἐϜὸν, non Ϝεὸν). Β 165. 181 μηδὲ ἔα. Θ 428 νῶϊ ἐῶ. Ι 420. 687 χεῖρα ἑὴν. Ρ 16 τῶ με ἔα. Τ 194 δῶρα ἐμῆϲ. Χ 339 μή με ἔα. Ψ 278 πατρὶ ἐμῷ (sed ς 140 πατρί τ' ἐμῷ). Ω 335 ἀνδρὶ ἑταιρίϲϲαι. θ 524 ὅϲ τε ἑῆϲ. ν 133 πάγχυ ἐπεὶ. itaque causa non est, cur cum Heynio μία aut ἐν δέ τ' ἴα scribamus. — 570 ἀθετεῖται Aristonicus. — 573 διὰ τοῦ ᾱ πάρδαλιϲ εἶχον αἱ ἀριϲτάρχου Didymus. — 575 Ἀρίϲταρχόϲ τινάϲ φηϲι γράφειν κυνυλαγμόν. οὕτω καὶ Ζηνόδοτοϲ. καὶ Ϲτηϲίχοροϲ δὲ ἔοικεν οὕτωϲ ἀνεγνωκέναι· φηϲὶ γοῦν ἀπειρεϲίοιο κυνυλαγμοῖο (ἀπειρεϲίου κυνυλαγμοῦ Eust. 1251, 61) Schol. BV. — 576 αἱ ἀπὸ τῶν πόλεων φθάμενόϲ τιϲ Schol. V.

ὣϲ Ἀντήνοροϲ υἱὸϲ ἀγαυοῦ, δῖοϲ Ἀγήνωρ,
οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήϲαιτ' Ἀχιλῆοϲ,
ἀλλ' ὅ γ' ἄρ' ἀϲπίδα μὲν πρόϲθ' ἔϲχετο πάντοϲ' ἐίϲην,
ἐγχείῃ δ' αὐτοῖο τιτύϲκετο, καὶ μέγ' ἀΰτει·
ἦ δή που μάλ' ἔολπαϲ ἐνὶ φρεϲὶ φαίδιμ' Ἀχιλλεῦ
ἤματι τῷδε πόλιν πέρϲειν Τρώων ἀγερώχων,
νηπύτι', ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ.
ἐν γάρ οἱ πολέεϲ τε καὶ ἄλκιμοι ἀνέρεϲ εἰμέν,
οἵ καὶ πρόϲθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ἴλιον εἰρυόμεϲθα· ϲὺ δ' ἐνθάδε πότμον ἐφέψειϲ,
ὧδ' ἔκπαγλοϲ ἐὼν καὶ θαρϲαλέοϲ πολεμιϲτήϲ.
ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείηϲ χειρὸϲ ἀφῆκε,
καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατοϲ οὐδ' ἀφάμαρτεν.
ἀμφὶ δέ οἱ κνημὶϲ νεοτεύκτου καϲϲιτέροιο

---

V. L. 579 ὥϲ A. — 580 ἔθελε E Syr. Flor. Rom. φυγέειν Ven. B. πειρήϲετ' H. πειρῆϲαι Vrat. b. — 581 ὃ γὰρ ACDGHLS. ΟΓÀΡ Syr. ὅγ' ἂρ Lips. πρόϲθε ϲχέτο Harl. Vrat. b. A. Mosc. 2. πάντοϲε, ἴϲην A. πάντοϲε ἴϲην DGLS. ΠΑΝΤΟϹ' ЄΊϹΗΝ Syr. — 583, 584 absunt a Syr. relicta lacuna. — 583 ἢ δή: γρ. ἤδη A. ἢ δή β′ που ἢ α′ ἤδη που E. ἐνι AD. ἀχϊλεῦ C. — 584 ἤματι D. τῷ δὲ G. τρώων πόλιν πέρϲειν D. πέρϲαι Vrat. A. τρῴων L. — 585 ἢ μάλα A Harl. γρ. ἢ τέ τι πολλὰ A. ἢ τέ τι L Lips. ΗΤЄΤΙ Syr. ἦτ' ἔτι H. τετεύξεαι HL Lips. Harl. Vrat. d. ἐπαυτῆι A. αὐτῆϲ Lips. ἔτ' αὐτῇ Vrat. b. — 586 γάρ οἱ AD 1. man. EGL Syr. γάρ ρ' οἱ C. γὰρ ῥ' οἱ Ven. B. γάρ ῥ' οἱ Mosc. 2. γάρ τοι D ex corr. HS Townl. Lips. Vrat. d. ἄνδρεϲ εἰμὲν L Lips. ἐν ἄλλῳ ἄνδρεϲ ἔνειμεν (cod. ἔνειμαν) A. — 587 οἵ κε AD Syr. οἵ κεν CGHLS. οἱ πρόϲθεν E. οἳ καὶ nullus. τεκέων Lips. τὲ H. τὸ τοκέων ἀλόχων τε καὶ υἱῶν ἔν τιϲιν ἀντιγράφοιϲ μετὰ τὸ ἀλόχων ἔχει κείμενον τὸ τοκέων Eust. 1252, 18. — 588 εὐρυϲόμεϲθα CG Ven. B. Flor. εὐρυόμεϲθα ἢ εὐρυϲόμεθα (sic) E. — 589 ἔπαγλϲϲ G. — 590 ἢ ῥὰ CDGHL. βαρείηϲ: παχείηϲ CD Harl. Vrat. b. Mosc. 2. γρ. παχείηϲ χειρὸϲ A. τινὰ δὲ τῶν ἀντιγράφων παχείηϲ χειρὸϲ γράφουϲιν Eust. 1252, 20. ἀφῆκε ACEGH Syr. — 591 ἀφάμαρτε L Syr. — 592 ἀμφι CDG. δέ μιν: δέ οἱ H Vrat. d.

---

A. c. 583 τινὲϲ τὸ ἤδη χρονικὸν ἐκδέχονται καὶ παροξύνουϲιν, οὐκ εὖ· ἄμεινον γὰρ περιϲπᾶν Herodianus. — 586 ἀνέρεϲ εἰμέν: ἐν ταῖϲ πλείοϲιν οὕτωϲ ἐφέρετο ἄνδρεϲ ἔνειμεν, καὶ μήποτε οὐ καλῶϲ Didymus. conf B 131. Є 477. — 587 οὕτωϲ αἱ Ἀριϲτάρχου οἳ καὶ πρόϲθε· ἔν τιϲι δὲ τῶν εἰκαιοτέρων οἵ κε πρόϲθε Schol. B. — 588 ἐφέψειϲ: Νικίαϲ ἀναϲτρέφει τὴν πρόθεϲιν, οὐκ εὖ Herodianus. — 592 δέ οἱ dedi ex libris duobus, quum accusativum exemplis firmatum non viderem, sed dativum, ut Μ 396. Ν 181. Ξ 420 ἀμφὶ δέ οἱ βράχε τεύχεα. Ν 805 ἀμφὶ δέ οἱ κροτάφοιϲι φαεινὴ ϲείετο πήληξ. Ϲ 205 ἀμφὶ δὲ οἱ κεφαλῇ νέφοϲ ἔϲτεφε. his valde dissimiles sunt loci quibus accusativus legitur ut Ζ 117 ἀμφὶ δέ μιν ϲφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν. Π 414. 580 ἀμφὶ δέ μιν (δέ οἱ Ν 544) θάνατοϲ χύτο. Ω 588 ἀμφὶ δέ μιν φᾶροϲ καλὸν βάλεν. γ 467. θ 455. κ 365. 452. ν 434. 436. ξ 320. 342. ψ 155. Ο 153.

ϲμερδαλέον κονάβηϲε· πάλιν δ' ἀπὸ χαλκὸϲ ὄρουϲε
βλημένου, οὐδ' ἐπέρηϲε, θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλείδηϲ δ' ὡρμήϲατ' Ἀγήνοροϲ ἀντιθέοιο
δεύτεροϲ· οὐδέ τ' ἔαϲεν Ἀπόλλων κῦδοϲ ἀρέϲθαι,
ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
ἡϲύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεϲθαι.
αὐτὰρ ὃ Πηλείωνα δόλῳ ἀποέργαθε λαοῦ·
αὐτῷ γὰρ ἑκάεργοϲ Ἀγήνορι πάντα ἐοικὼϲ
ἔϲτη πρόϲθε ποδῶν· ὃ δ' ἐπέϲϲυτο ποϲϲὶ διώκειν.
εἶοϲ ὃ τὸν πεδίοιο διώκετο πυροφόροιο,
τρέψαϲ πὰρ ποταμὸν βαθυδινήεντα Ϲκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
ὡϲ αἰεὶ ἔλποιτο κιχήϲεϲθαι ποϲὶν οἷϲι·
τόφρ' ἄλλοι Τρῶεϲ πεφοβημένοι ἦλθον ὁμίλῳ
ἀϲπάϲιοι προτὶ ἄϲτυ, πόλιϲ δ' ἔμπλητο ἀλέντων.
οὐδ' ἄρα τοί γ' ἔτλαν πόλιοϲ καὶ τείχεοϲ ἐκτὸϲ
μεῖναι ἔτ' ἀλλήλουϲ, καὶ γνώμεναι, ὅϲ τε πεφεύγοι
ὅϲ τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἐϲϲυμένωϲ ἐϲέχυντο
ἐϲ πόλιν, ὅν τινα τῶν γε πόδεϲ καὶ γοῦνα ϲαώϲαι.

---

V. L. 593 κονάβιζε D. ἀπο CDH Syr. ὄρουϲε ACDEGH Syr. — 594 omitt. A in textu. ΟΥΔΕΠΕΡΗϹΕ Syr. δὲ ἐρύκακε L. δ' ἐρύκακε Lips. — 596 οὐδ' ἔτ' Vrat. A. ἔαϲϲεν E Rom. ἐν ἄλλῳ ἔαϲεν ἄναξ διὸϲ υἱὸϲ ἀπόλλων A. — 597 κάλυψε δ' ἄρ': γρ. καὶ καλύψαϲ A. ἂρ ADEG HL. πολλῖ H. — 598 omittit L. ἔκπεμπε ACDGHS. ΕΚΠΕΜΠΕ Syr. ἐξέπεμπε E bis. — 599 ὃ CDGHL. λαῷ L Lips. — 600 γὰρ ACDL Syr. Lips. Vrat. A. Ven. B. γάρ ῥ' EGHS edd. vett. — 601 ὃ δ' DGL. ὅδ' CH. διώκων Vrat. b. — 602 * εἷοϲ: libri ἕωϲ. ὃ ACDGHL. — 603 τρέψαϲ libri praeter G, in quo est ϲτρέψαϲ, quod in Ald. 2. transiit. παρ DH. πὰρ' A. κάμανδρον L Harl. — 604 δόλῳ γὰρ GH Flor. Schol. X 15. ἂρ ADEL. — 605 ὧϲ D. ἐέλποιτο S. ἔλποτο H. ποϲϲὶν ἑοῖϲιν G. οἷϲι AC. — 606 ἄλλοι πάντεϲ C Ven. B. τρῷεϲ L. — 607 πρὸ τὶ C. προτιάϲτυ D. πόλιϲ: γρ. πύλαι A. δ' ἔμπληϲτο Lips. Mor. Barocc. δ' ἔπληϲτο L. ἀλέντων G. — 608 ἂρ τοί γ' L. — 609 μεῖναι ἐπαλλήλουϲ H Vrat. b. d. μεῖναί τ' ἀλλήλουϲ Schol. Λ 171. γνῶναι E. ὅϲ τέ περ φεύγει Schol. Λ 171. πεφεύγει D. — 610 ἐϲϲυμένωϲ A Barocc. Mor. ἀϲπαϲίωϲ CDEGHL Syr. Lips. Ven. B. edd. vett. γρ. ἀϲπαϲίωϲ A. ἐπέχυντο Vrat. A. — 611 εἰϲ Eust. 1253, 7; sed 1253, 9 ἐϲ. γε omitt. L Lips. γοῦνα ϲάωϲαν ACEGHLS Syr. Lips. Ven. B. edd. vett. γοῦν' ἐϲάωϲαν D.

---

A. c. 600 γὰρ ἑκάεργοϲ: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ αὐτῷ γάρ ῥ' ἑκ Didymus. — 607 πόλιϲ δ' ἔμπλητο: παρὰ Ἀντιμάχῳ καὶ Ῥιανῷ πύλαι δ' ἔμπληντο Didymus. — 611 ἀρίϲταρχοϲ εὐκτικῶϲ ϲαώϲαι ἀντὶ τοῦ ϲαώϲειαν Didymus.